J'ai pris [illegible]

1768

14

Β10

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΜΑΚΑΡΙΑ ΤΗ ΛΗΞΕΙ ΓΕΝΟΜΕΝΟΥ ΑΕΙΜΝΗΣΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

# ΑΝΘΙΜΟΥ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 1948
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

1853 ΣΦΡΑΓΙΣ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ.

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ,

διευθυνομένης ὑπὸ Ι. ΛΑΖΑΡΙΔΟΥ.

1854.

# Βίος καὶ πολιτεία τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀειμνήστου Πατριάρχου τῶν Ἱεροσολύμων Ἀνθίμου.

ΑΚ... ΑΡ. ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΜΕΓΑΛΗΝ ἔχει ἐν Χριστῷ καύχησιν ἡ Ἐκκλησία τῶν Ἱεροσολύμων, ὅτι καὶ ἐν αὐτῷ τῷ χειμῶνι τῶν ἰδίων αὐτῆς περιστάσεων ἀνέτειλαν ἐξ αὐτῆς παμφαεῖς ἀστέρες, τὸν πολύφωτον οὐρανὸν τῆς καθολικῆς Ἐκκλησίας καταγλαΐζοντες. Καὶ ἐν μέσῳ σκληρῶν πειρατηρίων πολλάκις ὀδυνωμένη ἡ Ἐκκλησία αὕτη, ἐπλούτει περιφανῆ ἐγκαλλωπίσματα τοὺς ἰδίους ἑαυτῆς Πατριάρχας, ἄνδρας μεγάλους καὶ λαμπροὺς ἀπό τε τοῦ βίου καὶ τῆς σοφίας. Εἷς τῶν πανευκλεῶν τούτων καὶ εἰς αἰῶνας ἀειμνήστων Πατριαρχῶν τῆς ἁγίας πόλεως ὑπῆρξε καὶ ὁ πολὺς τὴν ἀρετὴν καὶ παιδείαν Ἄνθιμος, ὁ τὴν παροῦσαν ἑρμηνείαν τοῦ ἱεροῦ Ψαλτῆρος φιλοπονήσας.

Καὶ πατρίδα μὲν ἔσχεν ὁ ἀοίδιμος οὗτος τὴν πάλαι ποτὲ περιφανῆ ἐκείνην καὶ λαμπρὰν καὶ τῆς ἑῴας προκαθημένην Ἀντιόχειαν, ἀφ' ἧς τοσαῦτα ἐβλάστησαν καὶ ἐν τοῖς ἀρχαίοις χρόνοις μυρίπνοα ἄνθη τὸν λειμῶνα τῆς Ἐκκλησίας καθωραΐσαντα, καὶ πνευματικῆς εὐωδίας τὴν οἰκουμένην ἐμπλήσαντα. Καθὼς δὲ ὁ πανένδοξος αὐτοῦ συμπολίτης θεῖος Χρυσόστομος νήπιον ἔτι ὢν ἀπωρφανίσθη πατρὸς, οὕτω καὶ ὁ ἱερὸς Ἄνθιμος ἐκ βρεφικῆς

ἡλικίας ἔμεινεν ὀρφανὸς μητρός. Ἀλλ' ἡ μὲν μήτηρ τοῦ ἱεροῦ Χρυσοῤῥήμονος· ζῶσα τότε ἐν μέσῳ πόλεως θαυμαστῆς καὶ μεγάλης, καὶ παιδευτήρια ἐχούσης λαμπρὰ, καὶ διδασκάλους περιφανεῖς, ἔθρεψέ τε καὶ ἐξεπαίδευσε τὸν υἱὸν αὐτῆς ἄριστα, καὶ ἤγαγεν αὐτὸν εἰς τὸ μέτρον ἐκεῖνο τῆς κατὰ Χριστὸν ἡλικίας τε καὶ σοφίας, ἐν ᾧ μετὰ ταῦτα ὡς διδάσκαλος οἰκουμενικὸς διέπρεψε καὶ ἐξέλαμψεν. Ὁ δὲ πατὴρ τοῦ Ἀνθίμου πόλιν κατοικῶν στυγνάζουσαν ἤδη καὶ πάντων ἔρημον οὖσαν, καὶ μηδὲν ἄλλο λαμπρὸν πλὴν τῶν ἐρειπίων ἔχουσαν, ἐθλίβετο καὶ δυσφόρως ἔβλεπε τὴν ἀβοήθητον ἀνατροφὴν τοῦ παιδός· καὶ τὰς κύκλῳ πόλεις τῷ νῷ περιπολῶν διελογίζετο, ποῦ καταφυγὼν ἠδύνατο καὶ αὐτὸς τὸ ὑπόλοιπον τῆς ζωῆς ἐν εἰρήνῃ τελέσαι, καὶ τὸν υἱὸν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἐκθρέψαι. Πολλαχοῦ δὲ τὸ ὄμμα τῆς ψυχῆς περιαγαγὼν, ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἰς τὰ ὄρη Σιὼν, ἐφ' ὧν ὡς ἐπὶ θρόνυ ὑψηλοῦ καὶ ἱερωτάτυ ἐπαναπαύεται ἡ ἁγία καὶ πανένδοξος τοῦ ὑψίστου πόλις, ἧς τὸ κλέος πολὺ καὶ μέγα διέλαμπε κατ' ἐκείνους τοὺς χρόνους διὰ τὰ ἐν αὐτῇ ἀκμάζοντα καθιδρύματα τῆς σοφίας, ὑπὸ τῶν τότε μακαρίων Πατριαρχῶν μετὰ πολλοῦ ζήλου ἀνεγερθέντα. Καὶ δὴ, θεόθεν πάντως κεκινημένος, παραλαβὼν τὸν παῖδα, τρίτον τότε τῆς ἡλικίας ἄγοντα ἔτος, ἀνέρχεται εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔτος 1720, τοῦ σοφοῦ καὶ πανευκλεοῦς Χρυσάνθου πατριαρχεύοντος. Καὶ τὸν μὲν Ἄνθιμον, Ἀντώνιον τότε καλούμενον, ὡς ἄλλον Σαμυὴλ ἀφιεροῖ τῷ Θεῷ καὶ τοῖς ἐκεῖ πατράσι, αὐτὸς δὲ τὰ τοῦ κόσμου ἀποταξάμενος, τὸν μοναχικὸν ἀσπάζεται βίον, Μακάριος μετονομασθείς. Δόκιμος δὲ καὶ ἀξιάγαστος ἐν πᾶσι φανεὶς προεχειρίσθη καὶ ἡγούμενος τῆς μίαν ὥραν τῶν Ἱεροσολύμων ἀπεχούσης εὐαγοῦς Μονῆς τοῦ προφήτου Ἠλιοῦ, ἔνθα καὶ κατέλυσε μετ' οὐ πολὺ θεαρέστως τὸν βίον.

Ὁ δὲ παῖς πρῶτον μὲν παρεδόθη εἰς τὴν ἀγαθὴν καὶ ἐνάρετον ἡγουμένην τῆς σεβασμίας τῆς Θεοτόκου Μονῆς, τῆς μεγάλης Παναγίας ἐπιλεγομένης, ἔνθα δὴ τὰ πρῶτα τῆς ἡλικίας σπαργανοῦται καὶ διαπλάττεται, θείοις ἤθεσι καὶ παιδεύμασιν ἐντρεφόμενος. Ἐνταῦθα καὶ τὰ στοιχεῖα τῶν ἱερῶν γραμμάτων ἐξέμαθε, καὶ τὴν πρώτην τοῦ ἤθους πῆξιν ἐμόρφωσεν. Ἀπορφανισθέντα δ' ἔπειτα καὶ τοῦ πατρὸς, ἀνεδέξατο αὐτὸν ὡς υἱὸν ὁ διά τε τοῦ τρόπȣ τὸ εὐσταθὲς καὶ τοῦ ἤθȣς τὸ κόσμιον πολὺς ἐκεῖνος Καισάριος, ἐπίτροπος τότε ὢν τοῦ ἀοιδίμου Μελετίου, τοῦ μετὰ τὸν Χρύσανθον τὸν Πατριαρχικὸν κατακοσμήσαντος θρόνον. Ὑπὸ τούτῳ δὲ τῷ αἰδεσίμῳ ἀνδρὶ τὰ τελεώτερα ἐκπαιδεύεται ὁ ἱερὸς Ἄνθιμος, ἔνθεν μὲν τὴν ἐγκύκλιον παίδευσιν ὑπὸ τῶν τότε διδασκάλων ἄριστα συγκροτούμενος, ἔνθεν δὲ βίῳ καλῶς ἡρμοσμένῳ κατακοσμούμενος, καὶ τῇ γνησίᾳ πρὸς τὸ καλὸν νεύσει ἐγγυμναζόμενος.

Επειδὴ δὲ ὅλων τῶν μεγάλων ἀνδρῶν ὁ λαμπρὸς καὶ διαπρεπὴς βίος ἔχει τὰ γενναῖα αὐτοῦ ῥιζώματα εἰς τὰς πρώτας τῆς νεότητος διαπλάσεις, ταύτας δὲ οὐδόλως κατανοοῦμεν, ἐὰν μὴ πρῶτον σπουδάσωμεν τῆς ἐποχῆς τὴν κατάστασιν καὶ τὰς περιςάσεις, ἐν αἷς τὸ ἀγλαόμορφον τοῦ λαμπροῦ βίου δένδρον ὡς ἐν ἐδάφει ἀγαθῷ καὶ πίονι ἔχει τὰς ῥίζας διϊκνουμένας, φέρε ἴδωμεν ἐν συνόψει τὴν τότε κατάστασιν τῆς ἐν Ἱερουσαλὴμ ἁγιοταφιτικῆς Ἀδελφότητος, ἐν ᾗ ὁ Ἄνθιμος ἐτράφη καὶ ἐπαιδεύθη, ἵνα γνωρίσωμεν ἀκριβέστερον τὴν ὅλην τοῦ ἤθους αὐτοῦ διατύπωσιν, καὶ τὴν τοῦ πνεύματος μόρφωσιν καὶ ἀνάπτυξιν.

Ὅσα μὲν παθήματα καὶ παγχάλεπα κακὰ ὑπέμειναν οἱ ἐν Παλαιστίνῃ Ὀρθόδοξοι ὑπὸ τῶν τὴν ἁγίαν γῆν ἐπιδραμόντων σταυροφόρων Φράγκων, ἱςοροῦσιν ἄλλοι τε καὶ ὁ ἀοίδιμος ἐν Πατριάρχαις Δοσίθεος. Ἀφ' οὗ δὲ οὗτοι ἐξώσθησαν ἐκ τοῦ ἱεροῦ

ἐδάφους, καὶ κατέσχον πάλιν τὴν γῆν οἱ Ἄραβες, οὐ μικρὰν παρηγορίαν ἐλάμβανον οἱ Ὀρθόδοξοι ἐκ τῆς εὐμενείας καὶ φιλοικτίρμονος προαιρέσεως τῶν ἐν Κωνσταντινουπόλει καὶ Τραπεζοῦντι βασιλέων καὶ δεσποινῶν, αἵτινες καὶ αὐτοπροσώπως πολλάκις ἀπήρχοντο εἰς προσκύνησιν τῶν ἱερῶν καὶ θεοβαδίστων τόπων, ἔχουσαι καταγώγιον τὸ ἔνδον τῆς Ἱερουσαλὴμ Μοναστήριον τοῦ ἁγίου Εὐθυμίου. Ἀλλὰ καὶ ἐκ τῆς τῶν ἄλλων εὐλαβῶν Χριστιανῶν ἐπισκέψεως μεγάλη βοήθεια προσεγίνετο εἰς τὴν ἐν Ἱεροσολύμοις Κοινότητα. Μετὰ δὲ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως, ἐπειδὴ τότε διετέλει ἡ Παλαιστίνη ὑπὸ τοὺς ἡγεμόνας τῆς Αἰγύπτου, καὶ δυσχερῶς ἀπήρχοντο εἰς τοὺς ἁγίους τόπους οἱ ἐκ τῆς Ὀθωμανικῆς αὐτοκρατορίας Χριστιανοί, εἰς τοσαύτην πτωχείαν κατήντησαν οἱ ἐν Ἱερουσαλὴμ Πατριάρχαι, ὥστε καὶ αὐτὸν τὸν ἐπιούσιον αὐτῶν ἄρτον ἐπορίζοντο οἱ ἀοίδιμοι, ἰδίαις χερσὶν ἐργαζόμενοι. Τῶν δὲ ἱερῶν Ἐκκλησιῶν ἡ κατάστασις ἦν ἄγαν πενιχρὰ καὶ σκυθρωποτάτη, καὶ τοιαύτη, ὥςε κατὰ τὸν ἱερὸν Δοσίθεον οἱ Πατριάρχαι «Μήτε κἂν ἱερὰ σκεύη ἢ ἄμφια εἶχον, ὅθεν πανίοις ἱεροῖς ἐλειτούργουν, καὶ τρικήριον εἶχον σιδηροῦν» (1).

Οἱ τῆς στενοχωρίας οὗτοι καιροὶ διήρκεσαν μέχρι τοῦ ἔτους 1534, ὅτε ὁ ἀείμνηστος Γερμανός, Ἕλλην τὸ γένος, ἀναβὰς τὸν θρόνον μετέβαλεν ἐπὶ τὸ ἱλαρώτερον τὴν σκυθρωπὴν ταύτην

---

(1) Περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. σελ. 1166. Ἀλλὰ καὶ ξύλινα δικηροτρίκηρα σώζονται ἄχρι τοῦδε, ἐν τῇ Λαύρᾳ τοῦ ἁγίου Σάββα πεφυλαγμένα εἰς μνήμην τῶν δυστυχῶν ἐκείνων καιρῶν. Τῆς σκληρᾶς ταύτης ἐποχῆς πτωχὰ καὶ πενιχρὰ λείψανα σώζονται πρὸς τούτοις καὶ δύο ξύλινοι ἀρχιερατικαὶ ῥάβδοι, ἐν τῷ σκευοφυλακίῳ τοῦ Πατριαρχείου τηρούμεναι.

ὄψιν τῶν πραγμάτων, τὸ ἔλεος καὶ τὴν ἀγάπην τῶν ἁπανταχοῦ Ὀρθοδόξων ἐπικαλούμενος. Καὶ αὐτοπροσώπως δὲ κύκλῳ τὰς πόλεις καὶ χώρας περιϊὼν ὁ μακάριος, συνήθροιζε τῶν ἀγαθῶν προαιρέσεων τὴν λογίαν, καὶ συνάμα κατήρτιζε τοὺς εὐσεβεῖς, εὐλογῶν αὐτοὺς καὶ διδάσκων. Ἐπειδὴ δὲ ἤδη ἀπὸ τοῦ ἔτους 1517 καὶ ἡ Παλαιστίνη ἐτέλει ὑπὸ τὴν κραταιὰν τῶν Ὀθωμανῶν ἐξουσίαν, ἤρχοντο καὶ οἱ Χριστιανοὶ ἔκτοτε ἀδεέστερον εἰς Ἱεροσόλυμα, συνεισφέροντες καὶ οὗτοι τὸ κατὰ δύναμιν εἰς τὴν ἀξιοπρεπῆ συντήρησιν τῶν παναγίων Προσκυνημάτων.

Τοῦ ἀοιδίμου Γερμανοῦ τοῖς ἴχνεσιν ἠκολούθησαν ἐφεξῆς καὶ οἱ ἀείμνηστοι αὐτοῦ διάδοχοι, πολλοῖς πόνοις ἐγκαρτεροῦντες, χώρας τε καὶ πόλεις εὐσεβῶν ἀκαμάτως περινοστοῦντες, καὶ τὸν λαὸν τοῦ Θεοῦ διδάσκοντες (1). Οἱ ἀκάματοι οὗτοι τῆς εὐσεβείας ἀθληταὶ διὰ μυρίων ἀγώνων καὶ παθημάτων τὴν λαμπάδα τῆς ὀρθοδοξίας ἄσβεστον ἐν Παλαιστίνῃ τηροῦντες, τοὺς ἔξωθεν ἐπιβουλεύοντας λύκους ἀπὸ τῆς ποίμνης τοῦ Χριστοῦ καρτερικῶς ἀπεσόβουν, ἕως οὗ ἀνέτειλεν εἰς Σιὼν ἡ τρισαυγὴς χορεία τῶν κατὰ σειρὰν πατριαρχευσάντων τηλαυγῶν ἐκείνων φωστήρων τῆς Ἐκκλησίας, Νεκταρίου, Δοσιθέου καὶ Χρυσάνθου. Οἱ τρεῖς οὗτοι σοφοὶ καὶ πανεύφημοι τῆς ὀρθοδοξίας διδάσκαλοι, ἐπὶ τῶν οἰάκων τῆς ἐν Παλαιστίνῃ Ἐκκλησίας καθεσθέντες, οὐ μόνον τὸ σκάφος

---

(1) « Μυριάριθμα πλήθη ἐθνῶν καὶ πόλεων στηρίζει ἡ θεία πρόνοια εἰς τὴν εὐσέβειαν τῇ περιηγήσει τῶν Πατριαρχῶν τῆς Ἱερουσαλήμ· ὅπου γὰρ ἂν περιπατήσωσι, τὸ πρῶτον αὐτῶν ἔργον ἐστὶ τὸ εὐαγγελικὸν κήρυγμα τρόπῳ ἀφιλαργύρῳ, ἡ διόρθωσις τῶν Χριστιανῶν πρὸς χρηστὰ ἤθη, ὁ στηριγμὸς εἰς τὴν εὐσεβῆ θρησκείαν, ἡ ἀντιπαράταξις πρὸς τοὺς αἱρετικούς, καὶ ὅλως κοινὸν ἀγαθὸν χρηματίζουσι τῇ καθολικῇ Ἐκκλησίᾳ » Δοσιθ. περὶ τῶν ἐν Ἱερος. Πατρ. σελ. 1184.

αὐτῆς ἐκ τοῦ πολλοῦ καὶ περιζέοντος κλύδωνος θαυμασίως διέσωσαν, καὶ ὡς ἐπιστήμονες κυβερνῆται πολλῇ συνέσει διεκυβέρνησαν, ἄνωθεν ἐξ ὄρους Σιὼν ὡς φωταυγεῖς λαμπτῆρες τοῖς ἐν τῇ ἁγίᾳ γῇ Ὀρθοδόξοις τὴν σωτηρίαν πυρσεύσαντες, ἀλλὰ καὶ σύμπαν τῶν εὐσεβούντων τὸ πλήρωμα λόγοις ποιμαντικῆς ἐπιστήμης ἐξέθρεψαν, καὶ ὡς μεγάλοι τῆς ἀληθείας κήρυκες πᾶσαν ἀκοὴν καὶ διάνοιαν Ὀρθοδόξων διδαγμάτων ἐπλήρωσαν, τὲς μὲν τῶν αἱρετικῶν ἐγγύθεν τοῖς ἀπὸ γλώσσης ὅπλοις καταστρεφόμενοι, τοὺς δὲ πόῤῥωθεν τοξεύμασι τοῖς ἐκ μέλανος καταῤῥάσσοντες. Ἐπὶ τῶν πανευκλεῶν τούτων καὶ ἀειμνήστων Ἱεραρχῶν καὶ τὰ πράγματα τοῦ κοινοῦ τοῦ ἁγίε Τάφε φαιδροτέραν ἔλαβον ὄψιν, καὶ αἱ ἁγιςεῖαι τῶν Ὀρθοδόξων ἐν Ἱεροσολύμοις λαμπρότεραι ἐτελοῦντο, καὶ πανταχοῦ τὰ πάντα ἐπὶ τὸ βέλτιον ἐῤῥυθμίζοντο. Πολλοὶ δὲ διαπρεπεῖς καὶ φιλόθεοι ἄνδρες οὐχ ἧττον ἐπ' εὐσεβείᾳ γνώριμοι ἢ ἐπὶ πλούτῳ καὶ δυναστείᾳ, γενναῖοι ἀνεδείχθησαν τῶν ἱερῶν τόπων πρόμαχοι, νῦν μὲν προσόδους εἰς περίθαλψιν τῆς ἁγιοταφιτικῆς Κοινότητος χορηγοῦντες, νῦν δὲ παρὰ τοῖς κρατοῦσι καὶ δυναστεύεσιν ὑπὲρ τῶν παναγίων Προσκυνημάτων ζήλῳ πολλῷ μεσιτεύοντες. Ἀλλὰ καὶ τῶν ἄλλων Ὀρθοδόξων τὰ πλήθη γενναιοτέρᾳ καὶ μείζονι προθυμίᾳ τὴν τῆς προαιρέσεως αὐτῶν λογίαν εἰσφέροντες συνήργεν πάμπολυ εἰς τὴν φαιδροτέραν ταύτην καὶ ἀξιοπρεπεστέραν κατάστασιν τῶν ἐν Παλαιστίνῃ πραγμάτων· ὅθεν καὶ αἱ σαθρωθεῖσαι οἰκοδομαὶ τῶν ἱερῶν Ναῶν καὶ Προσκυνημάτων μετὰ μεγαλοπρεπείας ἀνεκαινίσθησαν, καὶ τῶν εὐαγῶν Μοναστηρίων καὶ Ἐκκλησιῶν ἡ εὐπρέπεια, ὡς ἔδει, πάλιν ἀπεκατέστη.

Ὅ, τι δὲ μάλιστα ἐξέκαυσε τὸν ἔνθεον ζῆλον τῶν μακαρίων τούτων Πατριαρχῶν, ἦν ἡ ἐκπαίδευσις καὶ πάντων μὲν τῶν ἐν Παλαιστίνῃ Χριστιανῶν, ἰδίως δὲ τοῦ Κλήρου τοῦ Ἀποστολικοῦ

αὐτῶν θρόνου. Πρὸς δὴ τοῦτο καὶ παιδευτήρια καλὰ καθιδρύθησαν, καὶ βιβλιοθῆκαι λαμπραὶ συνεστάθησαν, καὶ συγγραφαὶ πολυωφελέσταται τύποις ἐξεδόθησαν, καὶ ἐν ἑνὶ λόγῳ, ἡ φαεσφόρος αἴγλη τῆς ὀρθοδόξου διδασκαλίας ἐκ Σιὼν ἀπαυγάζουσα, ἐπὶ πᾶν τὸ πλήρωμα τῶν πιστῶν λαμπροφαεῖς ἐπέχεε τὰς ἀκτῖνας. Οὐδέποτε ἄλλοτε ἀπὸ τῶν χρόνων τῶν Σταυροφόρων τοσοῦτον δαψιλὴς ἐξεχύθη ἡ γνῶσις ἐν Ἱεροσολύμοις· καὶ ἡ ἐποχὴ αὕτη ἦν ἀληθῶς ἐποχὴ παλιγγενεσίας τῶν γραμμάτων ἐν Παλαιστίνῃ. Πανταχόθεν τῆς Εὐρώπης ἁδραῖς δαπάναις συνήθροιζον οἱ τρισμάκαρες οὗτοι καὶ ἐν βιβλιοθήκαις ἀπεταμίευον τὰς καλλίστας ἐκδόσεις τῶν τε ἱερῶν καὶ τῶν ἔξωθεν συγγραφέων, τρυφῆς χειμάῤῥουν τοῖς φιλομαθέσι παρασκευάζοντες· ἡ δὲ διψῶσα νεότης συντρέχȣσα ἔπινεν ἀκορέστως καὶ ἐνευφραίνετο.

Οἱ ἀνένδοτοι οὗτοι καὶ καρτερικοὶ τῶν προμάχων τοῦ φωτισμοῦ ἀγῶνες οὐκ ἔμειναν ἄκαρποι, ἀλλὰ καλῶς καὶ ἀφθόνως παρήγαγον τοὺς πεποθημένους καρπούς· ὅθεν κατὰ τοὺς χρόνους τούτους διέπρεπον ἐν Ἱεροσολύμοις καὶ ἀρχιερεῖς σοφοὶ καὶ τὴν θείαν παιδείαν ἄριστα συγκεκροτημένοι, καὶ διδάσκαλοι περιφανεῖς ἀπὸ καθέδρας διδάσκοντες, καὶ ἱεροκήρυκες μεγαλόφωνοι, τῷ λόγῳ τοῦ Θεοῦ ἀπ' ἄμβωνος τοὺς πιστοὺς διατρέφοντες. Πολλοὶ δὲ καὶ τῶν ἐντοπίων Χριστιανῶν οὐ μετρίως ἐγένοντο ἐντριβεῖς καὶ κάτοχοι τῆς τε Ἑλληνικῆς καὶ Ἀραβικῆς παιδείας. Ἦν ἰδεῖν τότε θέαμα ἥδιστον ἐν Ἱεροσολύμοις, ἔνθεν μὲν μεγάλους τὴν ἀρετὴν καὶ σοφοὺς τὴν μάθησιν Πατριάρχας, τὸν Ἀποςολικὸν θρόνον κατακοσμοῦντας, καὶ ὑπὲρ τῆς δόξης καὶ τοῦ φωτισμοῦ τῶν Ὀρθοδόξων λαμπρῶς ἀγωνιζομένους, ἔνθεν δὲ βιβλιοθήκας, σχολεῖα, διδασκάλους καὶ κήρυκας τῆς ὀρθοδοξίας, τὰς εὐαγγελικὰς ἀληθείας ὑψηλῷ κηρύγματι καταγγέλλοντας. Καὶ κατέστη πάλιν ἐπὶ τῶν ἡμερῶν τούτων ἐμφανὲς τὸ ὄρος Κυρίου διά τε τὸ κλέος τῶν

ἐν αὐτῷ πατριαρχευσάντων, καὶ τὴν ἐν τοῖς τόποις τούτοις τηλαυγεστέραν λάμψιν τοῦ φανοῦ τῆς ὀρθοδοξίας.

Καὶ οὕτω μὲν καλῶς εἶχον τότε τὰ πρὸς μάθησιν καὶ παιδείαν ἐν Ἱεροσολύμοις. Ἀμφιλαφὲς καὶ ἄφθονον ἔῤῥει τὸ νάμα τῆς ὑγιαινούσης διδασκαλίας, καὶ παντοδαπῶν μαθήσεων γνώσεις ἁβρῶς διέτρεφον καὶ κατεπλούτιζον τὰς φιλομαθεῖς ψυχάς. Ἀλλ' οὐχ ἧττον ἀξιοθαύμαστος ἦν καὶ ἡ ἀπηκριβωμένη καὶ σύντονος ἀγωγὴ, μεθ' ἧς ἀνετρέφετο τότε ἡ νεάζουσα ἡλικία, ἥτις συχνὰ μὲν δι' ἀπειρίαν, συχνὰ δὲ καὶ διὰ νηπιότητα φρενῶν καταδύεται ὑποβρύχιος εἰς κακὰς καὶ διεστραμμένας ἕξεις, ὅταν στερηθῇ τῆς πρεπούσης παιδαγωγίας. Διὰ τοῦτο οἱ γεραροὶ ἐκεῖνοι καὶ σεβάσμιοι Γέροντες ὡς ἀγαθοὶ παιδοτρίβαι ἐνεγύμναζον ἐκ νεαρᾶς ἡλικίας καὶ ἐπήλειφον τοὺς ἐμπεπιστευμένους αὐτοῖς πνευματικοὺς υἱοὺς εἰς τῆς πρακτικῆς ἀρετῆς τὰ σκάμματα, μετὰ τῆς ἐῤῥωμένης γνώμης καὶ βίον καλῶς ἡρμοσμένον καὶ ἀνδρικὸν αὐτοῖς ἐντυποῦντες. Οἱ ἀοίδιμοι ἐκεῖνοι πατέρες ἦσαν σοφοὶ μὲν τὸν λόγον, ἁπλοῖ δὲ τὸν τρόπον, καὶ πόνοις τῶν ἀρετῶν ἐγγεγυμνασμένοι, καὶ τὰ ἤθη αἰδέσιμοι. Τὸ δὲ ἱερὸν τῶν Ἁγιοταφιτῶν καταγώγιον ἐχρησίμευεν εἰς τοὺς νέους οὐχ ὡς παιδευτήριον μόνον μαθήσεως καὶ σοφίας, ἀλλὰ καὶ ὡς γυμνάσιον καὶ παλαίστρα πάσης πρακτικῆς ἀρετῆς· καὶ ἦν ἀληθῶς πρακτικοῦ τε καὶ θεωρητικοῦ βίου περιφανὲς φροντιστήριον. Τὴν ἄτυφον ταύτην καὶ σύντονον ἀγωγὴν τῶν ἐκτρεφομένων νέων μαρτυρεῖ καὶ ὁ πολὺς ἐν Πατριάρχαις

(1) «Κἀγὼ νέος ὢν τότε περίπου τὰ ὀκτωκαίδεκα ἔτη, καὶ ἀνυπόδητος χωρὶς σανδαλίων ἀπηρχόμην — λέγω δὲ ὅτι ἤμην ἀνυπόδητος, ἐπεὶ οὕτω τῷ καιρῷ ἐκείνῳ ἐπαιδαγώγουν ἡμᾶς οἱ προεστῶτες, καὶ οὕτως ἐφέρομεν τὴν παιδαγωγίαν γνώμῃ εὐπειθεῖ, καὶ αἰδοῖ πρὸς τοὺς προεστῶτας ἡμῶν» Δοσιθ. περὶ τῶν ἐν Ἱεροσ. Πατριαρχ. σελ. 1197.

Δοσίθεος, ἐν τῇ νεότητι αὐτοῦ ἀνυπόδητος περιπατεῖν ὑπὸ τῶν προεστώτων παιδαγωγούμενος, καθὼς αὐτὸς ὁ μακάριος ἱστορεῖ (1). Τοιαύτη λοιπὸν ἦν ἡ ἐν Ἱεροσολύμοις κατάστασις τῆς ἁγιοταφιτικῆς Ἀδελφότητος κατά τε τὴν ἀρετὴν καὶ παιδείαν, ὅτε ἦλθεν ὁ Ἄνθιμος μετὰ τοῦ πατρὸς αὐτοῦ, καὶ ἀφιερώθη τῇ Ἀδελφότητι ταύτῃ. Φιλομαθοῦς ἔδει μόνον καὶ φιλαρέτου ψυχῆς, καὶ πάντα ἦσαν ἐν ἀφθονίᾳ τὰ πρὸς τὴν θεωρίαν καὶ πρᾶξιν τυποῦντα.

Τὰ μὲν δὴ στοιχεῖα τῶν ἱερῶν γραμμάτων ἐξέμαθεν ὁ Ἄνθιμος, ὡς εἴρηται, ἐν τῇ σεβασμίᾳ τῆς Θεοτόκου Μονῇ, ἐν ᾗ καὶ τοὺς καλοὺς τῆς σεμνότητος καὶ χρηστοηθείας ἀπεμάξατο τύπους. Ἀδιαλείπτως ἐκεῖ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις συμπαραλαμβανόμενος καὶ συμψάλλων, βρεφόθεν ὁ παῖς ἀσίγητος ὑμνῳδὸς τῆς θείας δόξης ἐγένετο, καὶ τὰς ὑψώσεις τοῦ Θεοῦ καθ' ἑκάστην ἐν τῷ ἁπαλῷ αὐτοῦ λάρυγγι εἶχεν. Ἐντεῦθεν ἐξηγεῖται ἡ ἐν τῷ βάθει τῆς ψυχῆς αὐτοῦ καλῶς ἐῤῥιζωμένη ἐκείνη ἕξις τῆς ἱερᾶς προσευχῆς, ἣν ἀκμαίαν καὶ αὔξουσαν διετήρησε μέχρι βαθυτάτου γήρως. Ἐντεῦθεν μανθάνομεν τὸν πρὸς τὰς ἱερὰς ὑμνῳδίας διακαέστατον ἐκεῖνον πόθον, ὑφ' οὗ τυραννούμενος νύκτας ὅλας γλυκερῶς ἐδοξολόγει τὸν Κύριον, καὶ πάννυχον αἴνεσιν ἀνέπεμπε τῷ Θεῷ. Ἐκ τῆς πρώτης ταύτης ἀνατροφῆς ἐνεσημάνθησαν ἐν αὐτῷ καὶ οἱ ἄριστοι χαρακτῆρες τῆς πραότητος καὶ ταπεινοφροσύνης, οἱ τοσοῦτον ἔπειτα θαυμασθέντες καὶ διαλάμψαντες.

Ἐξελθὼν δὲ τῆς εὐαγοῦς ἐκείνης Μονῆς παρεδόθη ὑπὸ τοῦ κατὰ πνεῦμα πατρὸς αὐτοῦ Καισαρίου τῷ κατ' ἐκείνους τοὺς χρόνους σχολαρχοῦντι ἐν Ἱεροσολύμοις Ἰακώβῳ τῷ Πατμίῳ, ἵνα τὰ ἐγκύκλια παρ' αὐτῷ ἐκπαιδευθῇ μαθήματα. Ἐνταῦθα δὴ ἐξέλαμψε καὶ ἡ εὐφυΐα καὶ ἡ περὶ τὴν παίδευσιν αὐτοῦ δεξιότης. Ἐν τῷ εὐανθεῖ καὶ τερπνῷ λειμῶνι τῶν φιλοσόφων μαθημάτων περιηγούμενος, τάχει τε καὶ μεγέθει φύσεως ἐν βραχεῖ χρόνῳ τὰ

κράτιστα συνελέξατο, καὶ εἰς ἄκρον ἤλασε προκοπῆς καὶ παιδείας, πολὺ κατόπιν ἀφεὶς τοὺς συσπουδαστὰς καὶ συνηλικιώτας. Εἰς ταύτην δὲ τὴν ἐν τοῖς μαθήμασι θαυμασίαν πρόοδον συνήργησε πάμπολυ καὶ τὸ ἐκ τῆς σπουδαίας ἀγωγῆς ἐν αὐτῷ μορφωθὲν στάσιμον τοῦ ἤθους καὶ νηφάλιον τῆς διαίτης. Πολλοὶ καὶ ἄλλοι φύσεως ἀγαθῆς εὐμοιροῦντες, καὶ τὰ δῶρα τῆς εὐφυΐας πλουτοῦντες, μένουσιν ὅμως ἄποτοι καὶ ἄγευστοι τῶν καλῶν τῆς παιδείας, ἢ τοὐλάχιστον μετρίως τούτων ἐμπίπλανται, τοῖς ἔξω πράγμασιν ἔχοντες σφόδρα ἐκκεχυμένον τὸν νοῦν, καὶ τὸ ἦθος ἀπαγὲς καὶ σάλῳ πολλῷ τῶν νεωτερικῶν ἐπιθυμιῶν κυμαινόμενον. Ἀλλ' ἐν τῷ Ἀνθίμῳ συνέδραμον ἀμφότερα ταῦτα, καὶ νοῦς περιδέξιος, καὶ ἦθος φιλόσοφον. Καὶ τρίτον δὲ ἄλλο ἀφ' ἑαυτοῦ συνεισήνεγκεν ὁ Ἄνθιμος, τὴν καλὴν περὶ τὰ μαθήματα ἀπληστίαν, ἧς ἄνευ πᾶσα ἀγαθοδωρία τῆς φύσεως ἐν μικροῖς καὶ ὀλίγοις ἐκπνέει καὶ δαπανᾶται.

Καὶ τὸν μὲν Ἕλληνα λόγον καὶ τὴν ἄλλην ἐγκύκλιον μάθησιν ἐπαιδεύθη παρὰ τῷ εἰρημένῳ Σχολάρχῃ τῆς Πατριαρχικῆς Σχολῆς Ἰακώβῳ, τὴν δὲ Ἀραβικὴν, Περσικὴν καὶ Τουρκικὴν γλῶσσαν ἐδιδάχθη παρὰ τῷ ἐκ Χαλεπίου Σωφρονίῳ, τότε μὲν ὄντι Μητροπολίτῃ Πτολεμαΐδος, μετὰ δὲ ταῦτα Πατριάρχῃ γενομένῳ τῶν Ἱεροσολύμων (1). Τοσοῦτον δ' εὐφυὴς ἦν ὁ Ἄνθιμος περὶ τὴν μάθησιν τῶν γλωσσῶν, ὥστε μετ' οὐπολὺ καὶ τῶν τεσσάρων διαλέκτων ἐγένετο ἐγκρατέστατος, καὶ κατ' αὐτὰς ἐλάλει καὶ ἔγραφε

(1) Τοῦ ἀοιδίμου τούτου Σωφρονίου φέρεται εἰσέτι ἀνέκδοτος ἱερὰ Κατήχησις, ἣν διάκονος ἔτι ὢν ἀραβιστὶ συνέταξεν· ὡσαύτως καὶ μία Χρηστοήθεια ἐκ τοῦ Ἑλληνικοῦ μεταπεφρασμένη. Ἐξέδωκε δὲ διορθώσας καὶ τὸ Ψαλτήριον, ὑπ' ἄλλου μὲν παλαιοῦ μεταφραστοῦ ἐκ τῶν Ο εἰς τὴν Ἀραβικὴν μεθηρμηνευμένον, πολλῶν δὲ σφαλμάτων καταντῆσαν πλῆρες.

μετὰ πολλῆς εὐχερείας. Ἀλλ' ἡ ξηρὰ μόνον σπουδὴ τῶν γλωσσῶν, πλούτου γνώσεων ἀμοιροῦσα, οὔτε ψυχὴν τρέφει, οὔτε πνεῦμα πλουτίζει, μνήμης δὲ μόνον καὶ φυσικῆς δεξιότητος ἔχει ἐπίδειξιν, καὶ ὁμοιάζει πρὸς δένδρον ὑψηλὸν μὲν καὶ εὐθαλὲς, ἄκαρπον δὲ καὶ στεῖρον. Ἡ περὶ τὰς ξένας γλώσσας σπουδὴ τότε γίνεται πάγκαρπος καὶ ὠφελιμωτάτη, ὅταν φέρῃ μεθ' ἑαυτῆς καὶ γνώσεων θησαυρὸν, καὶ πλοῦτον θεωρημάτων. Τοιαύτην φιλοσόφων λόγων μεστὴν καὶ ὑψηλῶν νοημάτων βρίθουσαν εἶχε τὴν τῶν γλωσσῶν ἐπιστήμην καὶ ὁ μακάριος Ἄνθιμος, θαυμασίως τὴν ψυχὴν ποιωθεὶς καὶ τὸν νοῦν ῥωσθεὶς ἐκ τῆς ἐνδελεχοῦς ἀναγνώσεως σοφῶν συγγραφέων. Μετὰ μεγαλοφυοῦς δὲ καὶ πρεπούσης τῇ θείᾳ Γραφῇ διανοίας καὶ τοῖς ἱεροῖς λογίοις ἐγκύπτων, καὶ νῷ καθαρῷ καὶ ἀνεπιθολώτῳ τὰ ὑψηλὰ θεωρήματα τῶν Γραφικῶν ἀληθειῶν μελετῶν, καὶ τούτοις ἀκορέστως νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐντρυφῶν, ἐγένετο ὅλως σοφόν τι χρῆμα, καὶ πανταχόθεν θεοειδὲς, καὶ τοῖς τῆς εὐσεβείας δόγμασι διαλάμπον. Τοιοῦτος δὲ γενόμενος οὐκ ἐλάνθανε τοὺς προεστῶτας, οὐδὲ συγκρύψαι καὶ συσκιάσαι ἠδύνατο τὴν τηλαυγῶς ἀπαστράπτουσαν λάμψιν τῆς ἀρετῆς αὐτοῦ καὶ παιδείας· ὅθεν πρῶτον μὲν καθίσταται γραμματεὺς τοῦ Κοινοῦ τοῦ ἁγίου Τάφου· ἀποβιώσαντος δὲ μετέπειτα τοῦ διδασκάλου αὐτοῦ Ἰακώβου, χειροτονεῖται ἱερεὺς καὶ ἀρχιμανδρίτης, καὶ προβιβάζεται εἰς τὴν ἕδραν τῆς σχολαρχίας, καὶ συνάμα προχειρίζεται πρῶτος ἱεροκήρυξ τοῦ Πατριαρχικοῦ Θρόνου τῶν Ἱεροσολύμων.

Ἐνταῦθα δὴ κατέστη γνώριμος ἅπασι καὶ περίβλεπτος ὁ ἱερὸς Ἄνθιμος, διασαλπίζων τοῦ Θεοῦ τὸν λόγον καὶ κατὰ τὰς τρεῖς γλώσσας, Ἑλληνικὴν δηλαδὴ, Τουρκικὴν καὶ Ἀραβικήν· ὡς ἄλλος δὲ Ἀπόστολος ἐν Σιὼν, οὐ κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς μόνον, ἀλλὰ καθ' ἑκάστην τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐλάλει πολλαῖς

διαλέκτοις. Συνέτρεχον λοιπὸν οἱ πιστοὶ πανταχόθεν εἰς τὴν Σιὼν ἵνα καὶ ἐκ τοῦ σύνεγγυς τὸν μεγαλόφωνον κήρυκα τοῦ Εὐαγγελίου ἀκούσωσι, καὶ τὸ ἀπὸ τοῦ στόματος αὐτοῦ ῥέον ζῶν καὶ ἀλλόμενον ὕδωρ τῆς θείας διδασκαλίας ἀκορέστως πίωσι· ἡ δὲ ἀπὸ τοῦ ἱεροῦ ἄμβωνος θαυμασίως προχεομένη καὶ πελαγίζουσα αὐτοῦ ῥητορεία ζωοπαρόχως κατήρδευε τὰς εὐσεβεῖς ψυχὰς τῶν ἀκροωμένων. Ἀλλ' οὐκ ἦν μόνος ὁ λόγος ὁ τὲς πιςοὺς κατευφραίνων, συνῆν δὲ τῇ τοῦ λόγϐ χάριτι καὶ ἡ ἀπὸ τῶν ἔργων πειθώ. Ἡ πανταχόθεν λάμπουσα καὶ ἀκτινοβολοῦσα τῶν ἠθῶν αὐτοῦ ἁγιότης, ὡς φαεινὴ λαμπὰς ὑψϐμένη, οὐχ ἧττον ἐφώτιζε καὶ κατήρτιζεν εἰς τὴν πίστιν καὶ τὴν εὐσέβειαν. Ἐν ᾧ δὲ ὁ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορευόμενος λόγος τῆς χάριτος διαπρυσίως ἐκήρυττε τῆς Εὐαγγελικῆς ἠθικῆς τὰ ἐπουράνια παραγγέλματα, αὐτὸς προὐτίθη ἑαυτὸν ὡς ἔμπνουν ἀρετῆς στήλην, τὰ κηρυττόμενα βεβαιοῦσαν, καὶ ἐμπράκτως ἀποδεικνύουσαν· καὶ ὡς φαιδρὸς λαμπτὴρ τὰς τῆς φιλοσοφίας λαμπάδας πόῤῥωθεν ἅπτων, τοὺς βουλομένους ἐπὶ τὸν τῆς σωτηρίας ἐχειραγώγει λιμένα. Πόσης δὲ καρποφορίας ἐγένετο πρόξενος ὁ μακάριος καὶ ἐν τῇ Σχολῇ διδάσκων, γίνεται φανερὸν ἐξ ἄλλων τε καὶ ἐκ τῶν πολλῶν ἐγχωρίων Χριστιανῶν, ὅσοι ἐν ἐκείνῃ τῇ Σχολῇ παιδευθέντες ἤκμαζον κατὰ τοὺς χρόνϐς τούτϐς, λόγιοι καὶ τὰ πρὸς τὴν μάθησιν καλῶς συγκεκροτημένοι.

Ἀλλ' ἡ τὰ πάντα πανσόφως διεξάγουσα τοῦ Ὑψίστου πρόνοια εἶχε προωρισμένον τὸν Ἄνθιμον εἰς ὑψηλότερα καὶ διαπρεπέςερα ἀξιώματα, ἐν οἷς ἡ ἀρετὴ αὐτοῦ καὶ σοφία ἐκλάμψαι ἔμελλε φανωτέρα τε καὶ τηλαυγεςτέρα. Τοῦ κλεινοῦ αὐτοῦ διδασκάλου Σωφρονίου Πτολεμαΐδος εἰς τὸν Πατριαρχικὸν ἀναβάντος θρόνον, ἀναβιβάζεται καὶ ὁ Ἄνθιμος εἰς τὸν δεύτερον θρόνον τῶν Μητροπολιτῶν τῆς Ἀποστολικῆς καθέδρας τῶν Ἱεροσολύμων, καὶ

προχειρίζεται Μητροπολίτης Σκυθοπόλεως ἐν ἔτει 1774 (1).

Καθὼς δὲ ὁ ἥλιος, ὅσον ὑψηλότερα ὑπεράνω τοῦ ὁρίζοντος ἀναβαίνει, τοσοῦτον λαμπρότερος καὶ φεγγοβολώτερος ἑαυτοῦ γίνεται, οὕτω καὶ ὁ ἱερὸς Ἄνθιμος, ὅσον μείζονος ἠξιοῦτο στάσεώς τε καὶ τάξεως, τοσοῦτον λαμπροτέρας ἐξέπεμπε τὰς λαμπηδόνας τῶν ἀρετῶν, καὶ τοσοῦτον μεῖζον ἐλάμβανε καὶ τὸ πρὸς Θεὸν δίαρμα καὶ ἀνάστημα τῆς ψυχῆς. Ἐκ τῶν τοιούτων δὲ διαπρεπῶν καὶ περιόπτων ἀξιωμάτων, οἱ μὲν μικρὰ καὶ ταπεινὰ φρονοῦντες, καὶ περὶ τὴν δόξαν μόνον ἐπτοημένοι, πολλὴν πολλάκις πάσχουσι βλάβην, κούφην καὶ ἀστερέωτον ἐν τῇ ἀρετῇ ἔχοντες τὴν ψυχήν, καὶ πρὸς τὸ μέγεθος καὶ ὕψος τοῦ ἀξιώματος

---

(1) Ἡ Σκυθόπολις, ἡ καὶ Βαιθσὰν καλουμένη ἐν τῇ ἁγίᾳ Γραφῇ (Ἰησ. Ν. ιζ΄, 11. Κριτ. ά, 27), πόλις ἐςὶν ἀρχαία τῆς Παλαιστίνης, ἀπέχουσα τῶν μὲν Ἱεροσολύμων 600 στάδια (β΄ Μακκαβ. ιβ΄, 29), τῆς δὲ Τιβεριάδος 120 (Ἰώσηπ. ἐν βίῳ 15), τοῦ δὲ Ἰορδάνου δύο μόλις ὥρας. Κατὰ τοὺς χρόνους τοῦ Εὐσεβίου καὶ Ἱερωνύμου ἦν πόλις λαμπρὰ καὶ ἐπίσημος, ἧς οἱ ἐπίσκοποι διέπρεψαν καὶ ἐν οἰκουμενικαῖς καὶ ἐν τοπικαῖς Συνόδοις. Ἀνεδείχθη δὲ καὶ ἁπάσης τῆς δευτέρας Παλαιστίνης Μητρόπολις, ἔχουσα πολλὰς ὑποκειμένας ἐπισκοπάς. Ἀλλὰ φαίνεται ὅτι πολλὰ ἔπαθε μετὰ ταῦτα ἐκ τῶν ἐπιδρομῶν τῶν βαρβάρων· διότι ἐν τοῖς χρόνοις ἤδη τῶν Σταυροφόρων ἱστορεῖται ἡ Σκυθόπολις ὡς μικρός τις τόπος, πολλὰ περιέχων ἐρείπια. Ὁ δὲ κατὰ τὸν δωδέκατον αἰῶνα περὶ τῶν Πατριαρχικῶν θρόνων γράψας Δοξαπατρῆς, ἱστορεῖ περὶ τῆς Μητροπόλεως ταύτης καὶ τῶν αὐτῇ ὑποκειμένων ἐπισκοπῶν τὰ ἑξῆς· « Δεύτερος ὁ Σκυθοπόλεως, ἤτοι Βηθσάν. Οὗτος ἔχει σύνορον ἕως τῆς Αὐσήτιδος χώρας, καὶ ἕως Ζαβουλὼν, καὶ ἕως τῆς Γαλιλαίας. Τούτῳ ὑπόκεινται ἐπίσκοποι ἑπτά. Ὁ Πέλλης. Ὁ Ἀβήλης. Ὁ Ἵππου. Ὁ Ἐφίκας. Ὁ Τετρακωμίας. Ὁ Κλίματος Γαλάνου. Ὁ Κώμης Ναΐδ ». Τανῦν ἡ Σκυθόπολις ἄθλιόν ἐστι χωρίον συνῳκισμένον ἐξ 70 ἕως 80 οἰκιῶν Ἀράβων, διαβοήτων ἐπὶ ἀγριότητι καὶ θηριωδίᾳ. Καλεῖται δὲ

μὴ ἱκανῶς παρεσκευασμένοι, μηδὲ πρὸς τὰ ἄνω πρότερον, ὡς ἔδει, ἐπτερωμένοι· ὅθεν πολλάκις καὶ ἀντὶ δόξης δρέπονται ἀτιμίαν καὶ κόλασιν ψυχῆς, ὑποκλυζομένης πάντοθεν καὶ καταφερομένης ὑπὸ τῶν μὴ πρότερον χαλιναγωγηθέντων παθῶν. Οἱ ὑψηλῶς ὅμως καὶ μεγαλοπρεπῶς περὶ τῶν μεγίςων διανοούμενοι, καὶ ὄντως γενναῖοι τοῦ φωτὸς ἐρασταὶ, τηλαυγέστερον ἐκπέμπουσι σέλας ὕψου ἀρθέντες. Τούτους αἱ προεδρεῖαι μᾶλλον ἐπαίρουσι καὶ λαμπροὺς ποιοῦσι, τὴν ἀρίζηλον δόξαν τῆς ἀρετῆς αὐτῶν εἰς μίμησιν καὶ παράδειγμα παντὶ τῷ κόσμῳ ἐπιδεικνύουσαι· ἡ δὲ περιφάνεια τῶν ἀξιωμάτων προσθήκη γίνεται ἀρετῆς καὶ μειζόνων κατορθωμάτων· τοῦθ' ὅπερ ἔδειξε πληρέστατα ὁ ἀοίδιμος Ἄνθιμος. Ἀφ' ἧς ὥρας ἐδέξατο τὸ ὑψηλὸν τῆς ἀρχιερωσύνης ἀξίωμα, ὅλως ἀφωμοιώθη τοῖς παλαιοῖς ἐκείνοις πατράσι καὶ ἱεράρχαις, προσευχαῖς παννύχοις ἐστηλωμένος, χεῖράς τε καὶ ὀρφανὰ ἐλεῶν, καὶ πᾶσαν ἄλλην ἀρετὴν μετερχόμενος, τὸν ἱεραρχικὸν χαρακτῆρα θεοειδέστερον ἀποφαίνουσαν. Αἱ δὲ μᾶλλον ἐν τῷ ἤθει αὐτοῦ λαμπρῷ φωτὶ ἀπαστράπτουσαι ἀρεταὶ ἦσαν ἡ τῆς πραότητος καὶ ταπεινοφροσύνης. Ἤσκει δὲ καὶ ἠγάπα τὴν ταπεινοφροσύνην οὐχὶ ἐπιπλάςως, οὐδὲ ἐξ ἐπιπολῆς, ἀλλ' εἰλικρινῶς καὶ ἐξ αὐτῶν τῆς ψυχῆς τῶν σπλάγχνων, οὐδ' ἐτίθη ταύτην ἐν ἐσθῆτι μόνον καὶ βαδίσματι καὶ φωνῆς ὑφέσει, ἀλλ' ἐν αὐτῷ τῷ τῆς ψυχῆς καταστήματι· ὅθεν ὅσον ὑψηλὸς ἦν τὸν βίον, τοσοῦτον ταπεινὸς ἦν τὸ φρόνημα· καὶ τὴν μὲν ἀρετὴν εἶχεν ἀπρόσιτον καὶ τοῖς πολλοῖς ἀνέφικτον, τὴν δὲ συναναστροφὴν καὶ λίαν εὐπρόσιτον καὶ φιλοπροσήγορον. Περιφανὴς καὶ διάσημος ἀνὰ πᾶσαν τὴν Συρίαν καὶ Παλαιστίνην, καὶ θαυμαζόμενος πάντοθεν

---

ἄχρι τῆς σήμερον παρὰ τοῖς Ἄραψι Βησὰν, καὶ σώζει πολλὰ κατεῤῥιμένα λείψανα ἀρχαιότητος, ἐν οἷς καὶ τὰ ἐρείπια ἑνὸς Ῥωμαϊκοῦ θεάτρου.

ὑπὸ τῶν ἐραστῶν τῆς ἀρετῆς αὐτοῦ καὶ σοφίας, σάλπιγγος τρανώτερον πανταχόσε διαβοώσης τῆς φήμης τὸ εὐκλεὲς αὐτοῦ ὄνομα, οὐχ' ὑψώθη οὐδὲ ἐμετεωρίσθη τὴν καρδίαν ὁ παμμακάριστος, ἀλλ' ἔμεινε σταθερὸς ἐν οἷς ἤθεσι καὶ παιδεύμασι παιδιόθεν ἐτράφη, ἄτυφον μὲν καὶ ἀσκητικὸν βίον ζῶν, πρᾶον δὲ καὶ ἀόργητον τὸ ἦθος ἐπιδεικνύμενος. Τοῦτο δὲ τὸ πρᾶον καὶ γαλήνιον τῆς ψυχικῆς αὐτοῦ διαθέσεως ἐμφαίνει καί τι ἀστεῖον διηγημάτιον, ὅπερ ἄχρι τῆς σήμερον φέρεται ἐν τοῖς στόμασι τῶν Ἁγιοταφιτῶν. Ἑορτάσιμος ἦν ἡμέρα καὶ φαιδρὰ, ἐν ᾗ ἐπεθύμησεν ὁ μακάριος, ἐπειδὴ κρέατος ἀπεῖχεν, ἰχθύδιόν τι φαγεῖν τεταριχευμένον, ὃ καὶ ἀποστείλας ἐζήτησε παρὰ τοῦ τῆς Μονῆς οἰκονόμου καὶ τῶν τοιούτων ἐπιστάτου. Ἀλλ' ὁ ἐπιστάτης, ἁπλοῦς καὶ ἄπλαστος ἄνθρωπος, ἔχει μὲν, εἶπεν, ὀλίγα τοιαῦτα ἰχθύδια, φυλάττει ὅμως αὐτὰ δι' ἀνθρώπους, ἐννοῶν ἀνθρώπους ἐπισήμους τινὰς τυχὸν ξένους. Ἐπανῆλθεν ὁ ὑπηρέτης κενὸς ἀναγγέλλων ταῦτα· ὁ δὲ ἱερὸς ἀνὴρ οὐδ' ἐταράχθη οὐδ' ἠγανάκτησεν, ἀλλὰ πράως ἅμα καὶ χαριέντως ἐκλαβὼν τοὺς λόγους τοῦ ἁπλοῦ ἐπιστάτου, φεῦ σοι, εἶπεν, Ἄνθιμε! ἱεροκήρυξ μὲν καὶ διδάσκαλος καὶ ἀρχιερεὺς ἐγένου, ἄνθρωπος δὲ οὐκέτι.

Καὶ τοιαύτῃ μὲν φιλοσοφίᾳ ἦν πεπαιδαγωγημένος ὁ Ἄνθιμος ἐν τοῖς καθ' ἑαυτὸν, οὐχ ἧττον δὲ μέγας ἦν καὶ ἐν τοῖς ἔργοις καὶ καθήκουσι τοῦ ποιμένος. Καί τοι δὲ διὰ τὰς ἐπιδρομὰς καὶ τὴν ἀγριότητα τῶν ἐκεῖ Ἀράβων πρὸ πολλοῦ ἦν ἔρημος Χριστιανῶν ἡ παροικία τῆς Σκυθοπόλεως, ἀλλ' οὖν ὁ Ἄνθιμος ἐξετέλει πληρέστατα τῆς ἐπισκοπικῆς διακονίας τὸ ἔργον, ἀδιαλείπτως ἐν Ἱεροσολύμοις τὸν λαὸν τοῦ Θεοῦ διδάσκων, εἴτε ἀπ' ἄμβωνος ὡς ἱεροκήρυξ, εἴτε ἀπὸ καθέδρας ὡς διδάσκαλος· καὶ μὴ ἔχων ἴδιον ποίμνιον, ἐδείκνυτο καθολικὸς ποιμάντωρ καὶ τροφοδότης ἁπάντων τῶν ἐν Παλαιςίνῃ λογικῶν τοῦ Χριστοῦ προβάτων. Ἐν τού-

τοις τοῖς χρόνοις τῆς ἀρχιερατείας αὐτοῦ, ὅλος ἤδη τῇ μελέτῃ τῶν θείων λόγων προσανακείμενος, καὶ πολὺν ἔχων ἐν τῇ ψυχῇ ἐναποκείμενον θεσπεσίων ἐννοιῶν πλοῦτον, συνέταξε καὶ ἀπανθίζων ἐφιλοπόνησε καὶ μέγα μέρος τῶν δύο ἀξιαγάστων αὐτοῦ συγγραφῶν, περὶ ὧν ἐροῦμεν ἐν τοῖς ἑξῆς.

Καὶ ὁ μὲν ἱερὸς ἀνὴρ οὕτω φαιδρὰς ἐξέπεμπε τῶν ἀρετῶν τὰς μαρμαρυγὰς, καὶ οὕτω καλῶς ὠρθοτόμει τὸν λόγον τῆς ἀληθείας· ὁ δὲ Θεὸς ἄνωθεν ἄλλην ἡτοίμαζε φαιδροτέραν εὐπρέπειαν, καὶ ἐνδοξοτέρων ἀγώνων στεφάνους. Τοῦ ἀοιδίμου Ἀβραμίου πρὸς Κύριον ἐκδημήσαντος ἐν ἔτει 1787, διεδέξατο τοῦ Ἀδελφοθέου τὸν θρόνον ὁ Καισαρείας Μητροπολίτης Προκόπιος, ἀνὴρ ἐῤῥωμένος μὲν τὴν γνώμην καὶ διαπρεπὴς τὴν εὐσέβειαν, ἄγαν δὲ τετρυχωμένος ὑπὸ τοῦ γήρως, καὶ ὀκλάζων ὑπὸ βάρος τῆς ἡλικίας· τὰ δὲ πράγματα τοῦ θρόνου μείζονος ἐδέοντο ἐνεργείας καὶ δραστικωτέρας χειρός. Τοῦτο δὲ συνιδὼν ὁ ἀοίδιμος, καὶ τὸν θάνατον ὁρῶν προσεγγίζοντα, συμφέρον ἔκρινε καὶ καλὸν ἵνα αὐτὸς μὲν τοῦ θρόνȣ παραιτηθῇ, ἄλλον δὲ προβιβάσῃ εἰς τὴν διαδοχὴν, ἀξίως μέλλοντα κυβερνῆσαι τὴν Ἐκκλησίαν, ὑπὸ τοσούτων αἱρετικῶν καθ' ἑκάστην ἐπιβȣλευομένην. Καὶ δὴ πάντας τοὺς ἄλλους ἀφεὶς, ἐπὶ τὸν Ἄνθιμον στηρίζει τὸ βλέμμα, ζηλωτὸν τότε καὶ περίβλεπτον τῆς εὐσεβείας κήρυκα, καὶ τῆς ἀρετῆς ἐργάτην. Προβιβάζει λοιπὸν αὐτὸν ὁ Προκόπιος πρῶτον εἰς τὸν τῆς Καισαρείας τῆς Παλαιστίνης θρόνον· μετὰ δὲ ταῦτα προσκαλεσάμενος αὐτὸν εἰς Κωνσταντινούπολιν, ποιεῖται κανονικῶς ἐπ' αὐτῷ τὴν παραίτησιν τοῦ θρόνου, ὡς ἔθος τοῖς Πατριάρχαις τῶν Ἱεροσολύμων. Ὑπακούσαντος δὲ τοῦ ἱεροῦ Ἀνθίμου τῇ ἐπιταγῇ καὶ κελεύσει τοῦ Πατριάρχου, καὶ διαδεξαμένου τὸν Ἀποστολικὸν θρόνον, μετ' ὀλίγας ἡμέρας τελευτᾷ πρὸς Κύριον ὁ Προκόπιος, μόλις ἓν ἔτος πατριαρχεύσας.

Ἀνέβη λοιπὸν ὁ λύχνος ἐπὶ τὴν λυχνίαν, καὶ ὁ φεγγοβόλος λαμπτὴρ ἐπὶ τὴν ἀκρότητα τοῦ ἱεραρχικοῦ διακόσμου, ἵνα μᾶλλον διαλάμπῃ τοῖς ἐν τῇ οἰκίᾳ, δαψιλέστερα προχέων τὰ τοῦ πνεύματος σελαγίσματα. Εἰς τὸ ἔνθεον ὕψος τῆς ἱεραρχίας ἀρθεὶς, ἐκεῖνο πρῶτον ἔδειξεν ἀξιάγαστον ὁ μακάριος, ὅτι οὐδεποσῶς ἐξέκλινε τῆς συνήθους τοῦ βίου λιτότητος καὶ τῆς ἀσκητικῆς ἀγωγῆς, μεθ' ἧς ἐκ νεότητος τὸ σαρκίον κατέτηκεν, ἀλλὰ τὸ μὲν ἔνδυμα ἐτήρησε πενιχρὸν καὶ ἀπέριττον, τὴν δὲ νηστείαν εἶχε διηνεκῶς σύνοικον ἀγαθὴν, καὶ δότειραν ψυχικῆς γαλήνης, καὶ δαμάστριαν τῶν παθῶν· τῇ δὲ προσευχῇ καὶ τῇ τῶν θείων μελέτῃ καὶ θεωρίᾳ ὡς ἐν ἡδίστῳ καὶ θεσπεσίῳ ἐντρυφήματι ἀδιαλείπτως ἐνεκαρτέρει καὶ ἐνευφραίνετο. Καί τοι δὲ πολλάκις πρὸς πολλὰ ἠσχολεῖτο, τηλικαύτην ἔχων ἐπιστασίαν καὶ μέριμναν, ὅμως ὑπεξάγων ἑαυτὸν, ὁσάκις ἐνῆν, πάσης ταραχῆς καὶ θορύβου, πρὸς οὐρανὸν ἐμετεώριζε τῆς ψυχῆς τὸ πτερόν· ἐκ δὲ τῆς ἀψῖδος ἐκείνης, καθάπερ ἔκ τινος ἀπόπτου κορυφῆς, ἅπασαν ἔβλεπε τοῦ παρόντος βίου τὴν ὑπόκρισιν καὶ ἀπάτην. Καὶ καθὼς οἱ πρὸς τὰ ὑψηλότατα ὄρη μεταναστάντες, κατὰ τὸν θεῖον Χρυσόστομον, οὐδὲν ἔτι ἀκούουσιν, οὐδὲ βλέπουσι τῶν κάτω γινομένων ἢ λεγομένων, ἀλλ' ἀσήμου τινὸς μόνον ἢ ἀτερποῦς ἐνωτίζονται κραυγῆς, οὐδόλως ἡδυτέρας τῆς τῶν βομβούντων σφηκῶν, οὕτω καὶ ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ πρὸς τὸ ὕψος τῆς πνευματικῆς φιλοσοφίας συχνάκις ἀναπετῶν, ἔνθα πολλὴ μὲν ἡ γαλήνη, λαμπρὰ δὲ ἡ αἰθρία, οὐδενὸς ἐπῃσθάνετο τῶν κάτω, οὐδὲ τῶν τῇ ὄψει ἐπισκοτούντων, οὐδὲ τῶν τὴν ἀκοὴν θορυβούντων, ἀλλὰ τοὺς μὲν ὀφθαλμοὺς εἶχεν ἀκλινεῖς καὶ πρὸς τὸν πόθον τοῦ Θεοῦ πεπηγότας, καὶ τὸ θεῖον κάλλος ἀτενὲς ἐνορῶντας, τὰς δὲ ἀκοὰς ἀτρεμεῖς καὶ πρὸς ἓν μόνον ἠσχολημένας, τὴν τῶν θείων λογίων ἀκρόασιν. Ἐκ τούτου δὲ τοῦ ὕψους τῆς θεωρίας ἔπειτα πλήρης νέας χάριτος καὶ δυνάμεως, ὡς ὁ θεό-

πτης Μωϋσῆς ἐκ τοῦ Σινᾶ, καταβαίνων ἐνομοθέτει τε καὶ ἐποδηγέτει τὸν κάτω ἱστάμενον περιούσιον λαὸν τοῦ Κυρίου. Τοιαύτῃ δὲ διηνεκεῖ νήψει τὸν νοῦν καθαιρόμενος, ὅλος λαμπρὸς ἐφαίνετο καὶ θεοειδὴς ἐν τῇ τῆς θείας ἱεραρχίας ἐκείνῃ περιωπῇ· καὶ οὐ μόνον οὐδὲν οὐδὲ κἂν βραχὺ ἀφεῖλε τῆς πρότερον σεμνῆς καὶ αὐστηρᾶς πολιτείας, ἀλλὰ καὶ τὴν τῆς Πατριαρχείας ἀνάβασιν ὡς ἐπὶ τὰ ὑψηλότερα τῆς ἀρετῆς πρόοδον καὶ ἐπίβασιν διανοούμενος, μᾶλλον ἀνέφλεγε τὸν πόθον, καὶ κατέτεινε τοὺς ἀγῶνας, καὶ Θεὸν μόνον ἀναπνεῖν ἐσπούδαζεν ὁ τρισόλβιος, τύπον ἑαυτὸν προθεὶς πάσης ἀρίστης πράξεως, ὥσπερ ἀνδριάντα πνευματικὸν εἰς κάλλος ἀπεξεσμένον.

Οὕτω δὲ τὰ καθ' ἑαυτὸν γνώμῃ ἀῤῥεπεῖ διατάξας, καὶ τοιαῦτα στεῤῥὰ καὶ ἀδαμάντινα τοῦ θρόνου αὐτοῦ τὰ θεμέλια πήξας, ὅλην αὐτοῦ τὴν προσοχὴν ἔστρεψεν εἰς τὴν θεόθεν ἐμπιστευθεῖσαν αὐτῷ Ἐκκλησίαν. Καὶ πρώτην μὲν φροντίδα κατεβάλετο, ἵνα τηρήσῃ ἀλύμαντον καὶ ἀνεπιβούλευτον τὸ εὐσεβὲς αὐτοῦ ποίμνιον ἀπὸ τῶν ἔξωθεν καθ' ἑκάστην εἰσκωμαζόντων λυμεώνων τῆς Ὀρθοδόξου πίστεως, καὶ οὕτω παραστήσῃ τῷ Κυρίῳ λαὸν περιούσιον, τρόφιμον εὐσεβείας καὶ ζηλωτὴν καλῶν ἔργων. Τοῦτο δὲ οὐκ ὀλίγης ἐδεῖτο καὶ ἀνθρωπίνης μερίμνης καὶ θείας ῥοπῆς καὶ ἐπικουρίας· διότι βαρὺς καὶ καταῤῥάσων ἐπέῤῥει πολλάκις ὁ τῆς αἱρέσεως χείμαῤῥος, ἐπαπειλῶν ἄρδην ἐκτίλαι καὶ παρασύραι πᾶσαν φυτείαν καὶ βλάστην ὀρθόδοξον ἐκ τοῦ ἱεροῦ τῆς ἁγίας γῆς ἐδάφους. Οἱ δὲ τῆς ἑτεροδιδασκαλίας κενόφωνοι κήρυκες, νῦν μὲν ὑποκρυπτόμενοι καὶ πιθανῷ περιβλήματι πανούργως τὴν πλάνην κοσμοῦντες, ὑπεσκέλιζον τοὺς μᾶλλον ἀστηρίκτους καὶ ἁπλουστέρους· νῦν δὲ ἀναφανδὸν βρέμοντι θυμῷ κατὰ τῆς ἐκεῖ Ἐκκλησίας εἰσελαύνοντες, διεσπάραττον τὰ λογικὰ τῆς ποίμνης τοῦ Χριστοῦ πρόβατα. Καὶ ὥσπερ σκηπτός τις ἢ καταιγὶς, ἡ ἀντίπνους ζάλη τῆς κακοδοξίας

ῥύμη πολλῇ ἐπιπίπτουσα τὴν ἐξ οὐρίας πλέουσαν καὶ λαμπρῶς ἱστιοδρομοῦσαν ὁλκάδα καταποντίζειν ἠπείλει.

Ἀλλ' ὁ ἄγρυπνος καὶ χριστομίμητος ποιμενάρχης Ἄνθιμος τὴν ἐξ ὕψους δύναμιν ἀρωγὸν ἐπικαλούμενος, τῷ θριγκῷ τῆς ὀρθοδόξου διδασκαλίας πανταχόθεν τὴν ποίμνην τοῦ Χριστοῦ περιέφραττε καὶ περιεχαράκου, τὰ ἔξω θηρία τῇ σφενδόνῃ τοῦ λόγου ἀποσοβῶν, καὶ μετὰ μυρίων ἄλλων πόνων καὶ κινδύνων τοῖς ἐχθροῖς συμπλεκόμενος. Καὶ τοῖς μὲν ὀρθοδόξοις ἐγίνετο τεῖχος ὀχυρὸν καὶ χαράκωμα, τοῖς δὲ τὸν λόγον τοῦ Θεοῦ διαστρέφουσι πέλεκυς κόπτων πέτραν, ἢ πῦρ ἐν ἀκάνθαις, τὴν φρυγανώδη τῶν αἱρέσεων ὕλην ῥαδίως καταναλίσκον.

Ἐπειδὴ δὲ καλῶς ἐπίστατο ὅτι ἄνευ γνώσεων στερεῶν καὶ διανοίας πεφωτισμένης δυσχερῶς τις ἀντιπαλαίει πρὸς τὰς ἐξωπλισμένας φάλαγγας τῶν ἐναντίων τῆς ἀληθείας, καὶ ὅτι οἱ τὴν ὀρθοδοξίαν ἐπιβουλεύοντες ὡς ἐπὶ τὸ πολὺ ἐν τῇ σκοτομήνῃ τῆς ἀμαθείας ῥίπτουσι τῆς ἑαυτῶν αἱρέσεως τὴν σαγήνην, διὰ τοῦτο τὴν ἐν Ἱεροσολύμοις πρὸ πάντων Σχολὴν ἐν ἀνθούσῃ καὶ ζηλωτῇ καταστάσει τηρεῖν ἐσπούδαζεν ὁ ἀοίδιμος, ἐφ' ᾧ καὶ Σχολάρχην αὐτῆς ἐπέστησε τὸν Ἀρχιμανδρίτην Μάξιμον, ἕνα τῶν ἑαυτοῦ μαθητῶν ἐπὶ παιδείᾳ καὶ ἀρετῇ διακεκριμένον (1). Πόσον δὲ ὠφέλησε τὴν τότε σπουδάζουσαν νεολαίαν καὶ ὁ ἀκάματος οὗτος διδάσκαλος, δηλοῦσι τοῦτο καὶ οἱ ἔτι περιόντες τῷ βίῳ μαθηταὶ αὐτοῦ, σεβαστὰ λείψανα τῆς πανδαισίας τῶν λόγων ἐκείνου. Ἐκ τῆς Σχολῆς ταύτης, ἐν μέσῳ τῆς Παλαιστίνης φῶς γνώσεως πυρ-

(1) Τοῦ διδασκάλου τούτου σώζονται χειρόγραφοι ἐν τῇ τοῦ παναγίου Τάφου βιβλιοθήκῃ, λόγοι ἐκκλησιαστικοί, γραμματικά τινα πονήματα, καὶ ἄλλα ἐκ τοῦ Ἀραβικοῦ μεταφράσματα. Σώζεται δὲ αὐτοῦ καὶ μία σειρὰ εἰς τὴν βίβλον τοῦ Ἰώβ, ἐκ τῶν ἁγίων Πατέρων φιλοπόνως ἀπηνθισμένη.

σευούσης, φανὰ καὶ ἄφθονα ἐσελάγιζον τῆς Ἑλληνικῆς παιδείας τὰ ἀπαυγάσματα, καὶ ἦν αὕτη ὡς φάρος ὑψιφανὴς ἐπὶ τῶν ὀρέων Σιὼν πεπηγμένος εἰς φρυκτωρίαν τῶν ἐν τῷ σκότει τῆς ἀμαθίας περιπατούντων. Ἐπέστησε δὲ καὶ διὰ τὸν κοινὸν λαὸν τῆς Εὐαγγελικῆς διδασκαλίας ἰδιαίτερον κήρυκα τὸν ἐκ Τορνόβου τῆς Λαρίσσης Μακάριον ἱεροδιάκονον, ὅστις ἐν ταῖς ἱεραῖς Ἐκκλησίαις τὸν λόγον τοῦ Θεοῦ καταγγέλλων, τῷ ζωοποιῷ καὶ ἐπουρανίῳ τῆς ἀληθείας ἄρτῳ ἅπαντας τοὺς πιστοὺς ἐχόρταζε.

Ἀλλ' οὐκ ἠρκέσθη ἐν τούτοις ὁ ἀληθὴς καὶ μέγας τῶν τοῦ Χριστοῦ προβάτων ποιμήν, οὐδ' ἐνόμισεν ἱκανὸν τὸν ἐπὶ τὴν διψῶσαν κληρονομίαν τοῦ Θεοῦ ἀψοφητὶ καὶ ἠρέμα καταβαίνοντα τοῦτον ὑετόν· μεθύσαι ἤθελεν ὁ τρισόλβιος τὴν ἀγαθὴν ἐκείνην γῆν τῇ δαψιλεῖ ἐπομβρίᾳ τῶν γνώσεων, ὅπως εὐφρανθεῖσα ἀνατείλῃ ζωοπάροχον εὐσεβείας φυτείαν. Ἵνα γοῦν τρέφῃ καὶ στηρίζῃ ἀδιαλείπτως τῆς ἐμπεπιστευμένης αὐτῷ Ἐκκλησίας τὰ πρόβατα, καὶ ὡς ἐξ ἄλλων πηγῶν σωτηρίυ ἀένναον προχέῃ τῆς ὑγιαινούσης διδασκαλίας τὸ νᾶμα, καὶ ποτίζῃ εἰς κόρον τοὺς δίψῃ λόγου συνεχομένους, ἄλλο κατορθοῖ λαμπρὸν καὶ παναοίδιμον ἔργον, καὶ τῆς ἑαυτοῦ σοφίας τε καὶ μεγαλουργίας ἀντάξιον· ἀναλεξάμενος πᾶν τὸ βάθος τῆς ἁγίας Γραφῆς λογογραφεῖ τὴν εὐσέβειαν, καὶ συντίθησι καὶ τύποις ἐκδίδωσι τὴν περιώνυμον ἐκείνην θεολογικὴν βίβλον, ἐξ ἧς τοσαῦται μυριάδες ψυχαὶ ὀρθοδόξων Ἀράβων ἀπ' ἐκείνου τοῦ χρόνου ἕως τῆς σήμερον διατρέφονται, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ἀπ' αὐτῆς καρποῦνται, καὶ τῷ φωτὶ τῆς γνώσεως καταυγάζονται. Οὐδέποτε ἄλλοτε ἐν τοῖς παρελθοῦσι χρόνοις ἔσχον οἱ ὀρθόδοξοι Ἄραβες τοσαύτην θεσπεσίων νοημάτων τρυφήν, ἐν τῇ ἰδίᾳ γλώσσῃ τὸν γλυκασμὸν ἀποστάζουσαν. Ἀντὶ τῶν μικρῶν καὶ ἀτελῶν πονημάτων τῶν ἕως τότε ἐν χρήσει ὄντων, εἶδον νῦν οἱ χριστιανοὶ

πάμπλουτον καὶ μεγάτιμον δέλτον, τὰ ἱερὰ δόγματα εἰς πλάτος διατρανοῦσαν, καὶ τὰ βάθη τοῦ Πνεύματος ἐκφαντορικῶς ἀναπτύσσουσαν. Ἀντὶ τῶν ὀλίγων μόνον ἐν χειρογράφοις σχεδιασμάτων, βαρυτίμων καὶ τούτων καὶ πολυδάπανον τὴν ἀντιγραφὴν ἐχόντων, εἰς χιλιάδας νῦν ἐπληθύνθησαν ἀνὰ πᾶσαν τὴν Συρίαν καὶ Παλαιστίνην λαμπραὶ θεολογικαὶ πραγματεῖαι, εἰς χεῖρας ἁπάντων τῶν ὀρθοδόξων Ἀράβων φερόμεναι, καὶ μετὰ πόθου εὐσεβοῦς ἀναγινωσκόμεναι.

Τὴν βίβλον ταύτην συνέταξε μὲν ἐν πρώτοις ἑλληνιστὶ, μεθηρμήνευσε δ' αὐτὸς ὁ συγγραφεὺς ἔπειτα καὶ εἰς τὴν Ἀραβικὴν γλῶσσαν πρὸς χάριν τῶν ἐν Παλαιστίνῃ ὀρθοδόξων Χριστιανῶν. Ἐπειδὴ δὲ αὐτὸς πατριαρχικαῖς μερίμναις ἤδη ἠσχολημένος οὐδένα εἶχε καιρὸν ἐπιθεωρήσεως, παρέδωκε τὸ πόνημα τῷ συμμαθητῇ αὐτοῦ Παρθενίῳ ἱερομονάχῳ ἐκ Χαλεπίου, ὅπως τὰ τῆς γλώσσης ἀκριβέστερον ἐπιθεωρήσῃ, καὶ τὴν ὅλην τοῦ λόγου φράσιν ἐπὶ τὸ σαφέστερον καὶ κομψότερον μεταγάγῃ. Οὕτω δὲ ταῖς τῶν ἐννοιῶν ἅμα καὶ τῆς γλώσσης μαρμαρυγαῖς ἀποστίλβουσα ἐξῆλθεν ἡ βίβλος τῶν ἐν Βιέννῃ πιεστηρίων ἐν ἔτει 1792, ὡς μυριαγωγὸς ὁλκὰς τοῖς ἐν Συρίᾳ καὶ Παλαιστίνῃ Ὀρθοδόξοις πλοῦτον φέρουσα καὶ ζωήν.

Τὸν ἔπαινον τοῦ συγγράμματος τούτου καλῶς ἐστηλογράφησεν ἐν τῇ κεφαλίδι καὶ ὁ τὴν τύπωσιν ἐπιτρέψας αὐλικὸς ἐν Βιέννῃ σύμβουλος, εἰπών· «Ἔργον διά τε τὴν πολυμάθειαν καὶ τὴν γλαφυρότητα τῆς Ἀραβικῆς γλώσσης παντὸς ἄξιον ἐπαίνου». Καὶ αὐτὸς δὲ ὁ ἀοίδιμος αὐτοῦ συγγραφεὺς ἀραβιστὶ προλογίζων ὧδέ πως γράφει περὶ αὐτοῦ· «Ἐπειδή τινες τῶν ἐναντίων λόγοις σοφιστικοῖς πεφυσιωμένοι πειρῶνται ἀπατᾷν καὶ παρασύρειν εἰς τὰς ἑαυτῶν πλάνας τὰ ἐν πνεύματι ἡμῶν τέκνα, τοὺς εὐλογημένους ὀρθοδόξους Ἄραβας, οἵτινες τῶν ἀναγκαίων διδακτικῶν

βιβλίων ἐν τῇ Ἀραβικῇ γλώσσῃ στερούμενοι, οὐκ ἔχουσιν ἀποκρίνεσθαι πρὸς τοὺς περὶ τῆς πίστεως αὐτῶν φιλονείκως ἐπερωτῶντας καὶ σκανδαλίζοντας, καὶ κινδυνεύουσι πολλάκις δι' ἄγνοιαν εἰς κακὰς καὶ νενοθευμένας αἱρέσεις ἐκκλῖναι, ὑπὸ ζήλου χριστιανικοῦ κινηθείς, καὶ τὸν ἄνωθεν φωτισμὸν ἐπικαλεσάμενος, συνέταξα τὴν παροῦσαν βίβλον, εἰς πέντε μέρη διῃρημένην, καὶ ἐπιγραφὴν ἔχουσαν «ἀσφαλὴς ὁδηγία πρὸς τὴν ὀρθόδοξον πίστιν», ἵνα ᾖ ἑκάστῳ τῶν χριστιανῶν τέκνων ὡς ἀκράδαντος στύλος, καὶ ὡς ἰσχυρὰ ῥάβδος, τύπτουσα τὴν κεφαλὴν παντὸς ἐναντίου αἱρετικοῦ» (1).

Οὕτω δὲ δαψιλεῖ τῷ πόματι καὶ στερεᾷ τῇ τροφῇ ποτίζων καὶ τρέφων τὸ εὐσεβὲς αὐτοῦ ποίμνιον ὁ ἀοίδιμος, οὐχ ἧττον ἐφαίνετο καὶ τῆς σωματικῆς παραμυθίας μεγαλόψυχος χορηγός, πάντας τοὺς ἀπόρους καὶ ἐν ἀνάγκαις πιεζομένους περιποιούμενος, καὶ ἐκ τῶν ἐνόντων ἐπιφθάνων καὶ περιθάλπων. Τοσοῦτον δὲ φιλάνθρωπον εἶχε πρὸς πάντας καὶ φιλοικτίρμονα τὴν προαίρεσιν, ὥςε πολλάκις μὴ ἔχων παρ' ἑαυτῷ ἄλλο τι, καὶ αὐτὸν τὸν ἐπενδύτην αὐτοῦ ἀπεδύετο, καὶ εἰς χεῖρας τῶν πενήτων ἐναπετίθει. Καὶ ἐπὶ μὲν τῆς διαχειρίσεως τῶν κοινῶν χρημάτων ἄλλους ἐπέστησεν ἀδελφούς, ἐπὶ πείρᾳ συνέσει καὶ ἀρετῇ διαπρεπεῖς καὶ τεθαυμασμένους, αὐτὸς δὲ τοσαῦτα μόνον ἐλάμβανέ τε καὶ ἔφερε χρήματα, ὅσων ἔχρῃζεν εἰς ἐπικουρίαν τῶν προσερχομένων πενήτων.

Οὐκ ἐν μέρει δὲ μόνον καὶ πρὸς ἕνα ἕκαστον ἱλαρὸς ἐφαίνετο

(1) Τὸ Ἑλληνικὸν πρωτότυπον τοῦ διδακτικωτάτου τούτου συντάγματος τῆς Θεολογίας ἐκδίδεται ὅσον οὔπω τύποις ἐν τῇ πατριαρχικῇ τυπογραφίᾳ τοῦ παναγίου Τάφου τῇ ἐπιταγῇ καὶ κελεύσει τοῦ ἀείμνηστον ἤδη κλέος ἐπὶ τοιούτοις καλοῖς ἀραμένου Μακαριωτάτου Κυρίλλου, ἀξίου καὶ πανευκλεοῦς διαδόχου τοῦ ἱεροῦ ἐκείνου φωστῆρος.

δότης ὁ τρισμακάριος, ἀλλὰ καὶ πρὸς πολλοὺς ὁμοῦ, καὶ πρὸς κοινότητας ὅλας δαψιλῆ ἐπέχεε τῆς εὐεργεσίας τὰ ῥεῖθρα, καὶ ὡς ὀμβροφόρον νέφος ὑπεράνω ἐκτακέντος ἐδάφους ἐπιφαινόμενος ζωοπάροχον καὶ πιαντικὴν κατέπεμπε τῆς εὐποΐας τὴν ἐπομβρίαν· καὶ πολλάκις ἐν δειναῖς περιστάσεσι χιλιάδας ψυχῶν περιέθαλπε καὶ διέσωζεν ὁ θρόνος τοῦ ἱεροῦ Ἀνθίμου καὶ τὸ ὑπ' αὐτοῦ κυβερνώμενον Κοινὸν τοῦ ἁγίου Τάφου, ὅπερ ὡς πύλη ἀδελφικῆς εὐσπλαγχνίας πρὸς πάντας χριστομιμήτως ἠνοίγετο, πλοῦτον χρηστότητος καὶ παρηγορίας προσφέρον, καὶ τὰς σκληρὰς συμφορὰς τῶν πασχόντων ἀγαθοποιΐαις κουφίζον (1).

---

(1) Ὡς παραδείγματα τῆς φιλελεήμονος ταύτης καὶ συμπαθητικῆς προαιρέσεως τοῦ τε ἱεροῦ Ἀνθίμου καὶ ὅλων τῶν τότε Ἁγιοταφιτῶν ἔςωσαν τὰ ἑξῆς. Ὅτε οἱ Γάλλοι, εἰσβαλόντες ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Παλαιστίνην ἐν ἔτει 1799, κατέσχον ἄλλας τε πόλεις καὶ τὴν Ἰόππην, καὶ πολὺν ἐνεποίησαν φόβον τοῖς περιοίκοις, οἱ ἐν Ἱεροσολύμοις Ἄραβες ὑπὸ τῶν ἐφεστώτων δεινῶν ταραχθέντες καὶ ἐξαγριωθέντες, χιλίους που Χριστιανούς, ὀρθοδόξους καὶ μή, συναρπάσαντες κατέκλεισαν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως ὡς ἐν φυλακῇ. Οἱ δὲ Ἁγιοταφῖται κατὰ τὰς ἐν ταῖς τοιαύταις περιστάσεσιν ἐκπεφασμένας διαταγὰς τοῦ τρισμάκαρος, οὐ μόνον τοὺς ἐνταῦθα καθειργμένους ὀρθοδόξους, ὑπὲρ τοὺς ἑξακοσίους ὄντας, τέσσαρας ὅλους μῆνας διέθρεψαν καὶ ἀνέπαυσαν, ἀλλὰ καὶ ταῖς γυναιξὶν αὐτῶν καὶ τοῖς τέκνοις ἐν ὅλῳ τούτῳ τῷ διαστήματι ἄφθονον κατ' οἴκους ἀπέστελλον τὴν τῶν τροφῶν χορηγίαν καὶ πᾶσαν ἄλλην παρηγορίαν. Τελευταῖον δὲ λύτρα πολλὰ προσενεγκόντες ἀπηλευθέρωσαν καὶ ἐξήγαγον τοὺς ὀρθοδόξους ἐκ τῆς ἱερᾶς ἐκείνης εἱρκτῆς. Καὶ ἄλλο δὲ λυπηρότερον συνέβη κατὰ τὸν αὐτὸν χρόνον, ἐν ᾧ καὶ πάλιν δαψιλὲς ἐξεχύθη τῆς Ἁγιοταφιτικῆς εὐποιΐας τὸ ἔλαιον. Τῶν Γάλλων ὁρμησάντων ἐκ τῆς Ἰόππης εἰς τὴν Πτολεμαΐδα, ἔτι μᾶλλον εἰς ὀργὴν ἐξεκαύθησαν οἱ περὶ τὴν ἁγίαν πόλιν Ἄραβες· καὶ δὴ δραμόντες ἐπέπεσον εἰς τὴν πόλιν Ῥέμλην, τρεῖς ὥρας τῆς Ἰόππης ἀπέχου-

Οὐ παρημέλει δὲ οὐδὲ τῶν ἀνακαινίσεως καὶ ἐπιστασίας χρῃζόντων ἱερῶν οἰκοδομημάτων, οὐδ᾽ ἠνείχετο μικροπρεπῆ καὶ χαμαίζηλα φαίνεσθαι τὰ τῶν ὀρθοδόξων, τῶν ἄλλων ἐθνῶν φιλοτίμως τὰ ἑαυτῶν περιποιουμένων. Ὅθεν τῷ 1795 σωτηρίῳ ἔτει τρία τῶν ἐν Ἱεροσολύμοις ἀνεκαίνισε μοναστήρια, παντελῆ κατάπτωσιν ἀπειλοῦντα, τὸ τῆς ἁγίας Αἰκατερίνης, τὸ τοῦ ἁγίου Εὐθυμίου καὶ τὸ τῆς Θεοτόκου Σαϊδανάγιας λεγόμενον. Τὸν πατριαρχικὸν πρὸς τούτοις ναὸν τῶν θεοστέπτων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης κατὰ τὸ ἐνὸν ἐκαλλώπισε, νάρθηκα ἀνεγείρας. Ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς τὴν πατριαρχικὴν Μονὴν ἐπὶ τὸ βέλτιον μετεσκεύασεν, οἰκοδομαῖς καὶ τοίχοις κατακοσμήσας.

Ἡ ἐπιμέλεια δὲ τῶν τοιούτων ἐν Ἱεροσολύμοις τοσοῦτον μᾶλλόν

---

σαν. Καὶ τὴν μὲν πόλιν διήρπασαν, καὶ ληστρικαῖς χερσὶν ἐλαφυραγώγησαν, τὰς δὲ γυναῖκας μετὰ τῶν τέκνων συνέλαβον, καὶ εἰς Ἱερουσαλὴμ αἰχμαλώτους ἀπήγαγον, τὸν δὲ ἐκεῖ ναὸν τοῦ ἁγίου Γεωργίου κατέκαυσαν καὶ κατὰ μέρος ἐκρήμνισαν, τὸν δὲ ἱερέα μετὰ τοῦ κανδηλάπτου κατέσφαξαν. Τὸ πάθος τοῦτο τῆς Ῥέμλης ἐξέπληξε καὶ κατελύπησεν ἅπαντας τοὺς ἐν Ἱεροσολύμοις, οὐ τοὺς Χριστιανοὺς μόνον, ἀλλὰ καὶ τοὺς συνετοὺς καὶ φιλανθρώπους Ὀθωμανούς. Ἀλλ᾽ ἐνταῦθα πάλιν ἀρίδηλος ἐπεφάνη ἡ φιλάδελφος καὶ γενναία προαίρεσις τῆς ἁγιοταφιτικῆς Ἀδελφότητος. Οὐ μόνον πλήθει χρημάτων καὶ βαρυτίμοις λύτροις τὰς αἰχμαλώτους ἐκείνας ψυχὰς ἐξηγόρασαν οἱ Ἁγιοταφῖται, οὔσας ἐπέκεινα τῶν 200, ἀλλὰ καὶ δεκατέσσαρας ὅλους μῆνας ἐν ἀγάπῃ ἀδελφικῇ περιεποιήθησαν, καὶ πολυειδῶς περιέθαλψαν ἐν τῷ τῶν ἁγίων Θεοδώρων Μοναστηρίῳ. Τοιαῦτα φιλανθρωπίας ῥεῖθρα ἀνέβλυζον ἀεννάως ἐκ τοῦ ἱεροῦ καὶ ἀποστολικοῦ θρόνου τοῦ ἀοιδίμου Ἀνθίμου, ὧν ἡ μνήμη ἄχρι τῆς σήμερον εὐκλεὴς καὶ πανέντιμος παρὰ τοῖς πιστοῖς διασώζεται.

ἐστιν ἀναγκαία, ὅσον τὰ ἱερὰ ταῦτα καταγώγια ὁρῶνται καθ' ἑκάστην καὶ ἐπισκέπτονται ὑπὸ παντὸς ἔθνους τοῦ ὑπὸ τὸν οὐρανόν· καὶ μικρά τις περὶ ταῦτα ἀφιλότιμος παραμέλησις πολὺ καὶ μέγα προσάπτει τοῖς ὀρθοδόξοις τὸ ὄνειδος (1).

Ἀλλὰ τοῦ μάκαρος Ἀνθίμου τὸ ὄνομα ἀντήχει περικλεέστατον

---

(1) Μέγισται χρημάτων ποσότητες δαπανῶνται ἀδιαλείπτως ἐν Ἱεροσολύμοις ὑπὲρ τῆς καλῆς καὶ ἀξιοπρεποῦς συντηρήσεως τῶν ἐν Παλαιστίνῃ ἱερῶν οἰκοδομημάτων. Πλὴν τῶν καὶ πρὸς τὰ ἄλλα ἔθνη κοινῶν ἁγίων Ναῶν καὶ Προσκυνημάτων, 20 ἄλλα Μοναστήρια ἁδραῖς δαπάναις ἐθνοπρεπῶς συντηρεῖ ὁ θρόνος ἐντὸς τῶν Ἱεροσολύμων καὶ ἐν τοῖς πέριξ. Τῶν εὐαγῶν δὲ τούτων Μοναστηρίων ὡς ἱερῶν καὶ ἐθνικῶν κειμηλίων ἡ θεία εὐπρέπεια καὶ καλὴ συντήρησις ἦν ἀπ' ἀρχῆς τὸ ἀδιάλειπτον μέλημα καὶ ἡ πρώτη φροντὶς τῶν ἀειμνήστων Πατριαρχῶν τῆς ἁγίας πόλεως. Ἀλλὰ πάντας ὑπερῆρε τοὺς πρὸ αὐτοῦ ἡ ἀξιάγαστος περὶ ταῦτα φιλοτιμία καὶ ὁ ἔνθεος ζῆλος τοῦ νῦν πανευκλεῶς καὶ ἐνδόξως πατριαρχεύοντος Μακαριωτάτου Κυρίλλου. Ὁλόκληρα μοναστήρια τὰ μὲν ἐποικοδομαῖς καὶ ἐπανορθώσεσιν εὐπρεπίσθησαν, τὰ δὲ καὶ ἐκ βάθρων ἀνεκαινίσθησαν, καὶ μεγαλοπρεπέστατοι ναοὶ ὀρθοδόξων πολλαχοῦ τῆς Παλαιστίνης ἐκ θεμελίων ἀνηγέρθησαν. Αἱ περικαλλεῖς Ἐκκλησίαι τῆς Ἰόππης, τῆς Ῥαμάλας, τῆς Ζίφνας, τοῦ Σάλτου κτλ. ἀνυψοῦνται ὡς τόσα σιγῶντα κηρύγματα, ἀσιγήτως διαλαλοῦντα τὴν ὑπὲρ τοῦ εὐσεβοῦς αὐτοῦ ποιμνίου ἀδιάλειπτον μέριμναν τοῦ μεγάλου Κυρίλλου. Ζῴης ἐπιμήκιστον ἄνερ κοινωφελέστατε! Τοῦ ἀγαθοῦ ποιμενάρχου τὸν ἱερὸν ζῆλον ἐμιμήθησαν καὶ ἄλλοι Ἁγιοταφῖται Πατέρες, ἰδίαις δαπάναις τὰ ἱερὰ σκηνώματα καλλωπίσαντες. Οὕτως ὁ πανοσιώτατος Καμαράσης Κ. Θεοφάνης τὴν τοῦ ἁγίου Σάββα μεγάλην καὶ σεβασμίαν Μονὴν οἰκοδομήμασι καὶ ἱεροῖς ζωγραφήμασι κατεκάλλυνε. Τὴν αὐτὴν ἐπεδείξατο φιλότιμον χορηγίαν ὑπὲρ τῆς εὐαγεστάτης ταύτης Μονῆς καὶ ὁ ἐν Βλαχίᾳ πολὺς ἐκεῖνος καὶ ἐπ' ἀρετῇ καὶ λόγων δυνάμει διαπρεπὴς Ἀρχιδιάκονος τοῦ Ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων Κ. Ἰώβ.

καὶ διὰ τὴν μεγάλην αὐτοῦ καὶ ποικίλην παιδείαν. Παιδείαν δὲ λέγοντες ἐνταῦθα οὐδόλως ἐννοοῦμεν τὴν ἀγέρωχον ἐκείνην καὶ μεγάλα φυσῶσαν, τὴν ἀκαδημαϊκοῖς διπλώμασι γαυρουμένην καὶ πολὺν τὸν τύφον και τὴν φαντασίαν ἔχουσαν, ἀλλ' ἐκείνην, ἥτις ὄγκου μὲν τυχὸν ἀκαδημαϊκοῦ καὶ μεγάλων ὀνομάτων στερεῖται, πλουτεῖ δὲ γνώσεων βάθος καὶ στεῤῥότητα διανοίας καὶ πνεύματος ἀληθινὸν φωτισμόν. Παιδιόθεν ταῖς θείαις Γραφαῖς ἐντυγχάνων ὁ ἱερὸς Ἄνθιμος, καὶ καθαρωτάτῳ νοῒ καὶ ἀκορέστῳ πόθῳ ταύτας ἐκμελετῶν, ὅλος ἐνεπλήσθη τῆς ἀμβροσίας τῆς ἐκ τῶν θείων λογίων ἀεννάως ὑπερβλυζούσης, καὶ δοχεῖον ἐγένετο πάμπλουτον Γραφικῶν γνώσεων καὶ θεωρημάτων. Καὶ ὡς ἀγλαόκαρπον δένδρον, ἐν τῷ εὐθαλεῖ τῶν Γραφῶν λειμῶνι ἐκ πρώτης βλάστης πεφυτευμένον, καὶ ὑπὸ ταῖς ἐπιῤῥοαῖς τοῦ Πνεύματος ἀρδευόμενον, πολλὴν καὶ βρίθουσαν ἔφερε τὴν παγκαρπίαν τῶν θεοπρεπῶν νοημάτων, καὶ παρεῖχε τοῖς πᾶσι γλυκεῖς καὶ νεκταρώδεις ἀπογεύεσθαι τοὺς καρποὺς τῆς θεοπλούτου αὐτοῦ σοφίας. Ἱερεῖς, διδάσκαλοι, ἀναχωρηταὶ καὶ πολλοὶ ἄλλοι βίῳ τε καὶ λόγῳ διαφέροντες ἄνδρες, προσερχόμενοι καθ' ἑκάστην ἠρύοντο τὰ διαυγῆ τῶν γνώσεων νάματα ἐκ τοῦ ἀκενώτου αὐτοῦ κρατῆρος, καὶ τῶν προτεινομένων ἐκκλησιαστικῶν τε καὶ θεολογικῶν ζητημάτων θεόσοφον τὴν λύσιν λαμβάνοντες, ἐπέστρεφον κήρυκες διαπρύσιοι τῆς φωτιζούσης αὐτὸν θείας χάριτος. Ἔφθη δὲ διαπτᾶσα ἡ φήμη καὶ μέχρι τῶν ἀκροτάτων μερῶν τῆς πεφωτισμένης Εὐρώπης, διασαλπίζουσα κἀκεῖ καὶ ἀκουστὸν ποιοῦσα τοῦ θεοῤῥήμονος Ἀνθίμȣ τὸ κλέος. Μάρτυρες τούτȣ οἱ ἀπὸ τῆς Βρετανικῆς Ἀκαδημίας ἀποςαλέντες δύο σοφοὶ καὶ περιφανεῖς ἄνδρες, ἵνα ἐρωτήσωσιν αὐτόν, ὅπως τε καὶ ὁποίᾳ μεθόδῳ τὴν παλαιὰν Γραφὴν εἰς τὴν τῶν Περσῶν μεταφράσωσι γλῶσσαν, οἵ τινες λαβόντες τὰς ὑποθήκας, ὡς ἔδει, ὑπέστρεψαν μετὰ χαρᾶς, καὶ ἥψαντο τοῦ ἔργου ὡς ἐδιδάχθησαν.

Γνωστὸς δὲ καὶ περίπυστος ἐγένετο ὁ ἀνὴρ καὶ τῇ ὑψηλῇ ἀνακτορικῇ Πύλῃ, καὶ τοῖς ἐν ἐξουσίᾳ περιφανεστάτοις μεγιστᾶσι καὶ ὑπουργοῖς, ὑφ᾿ ὧν πολλάκις μετακαλούμενος, καὶ συνομιλῶν ἰδίως ἀραβιστί τε καὶ περσιστὶ, ἐντίμως καὶ μετὰ θαυμασμοῦ ἀπελύετο. Καὶ αὐτὸς δὲ ὁ κραταιὸς Ἄναξ Σουλτὰν Σελίμης πολλὴν αὐτῷ ἐπρυτάνευεν εὔνοιαν δι᾿ ἣν ἤκουεν ἀρετὴν αὐτοῦ καὶ παιδείαν. Διὰ ταύτην δὴ τὴν παρὰ πᾶσιν ἔντιμον καὶ θαυμαστὴν αὐτοῦ ὑπόληψιν ἐντυγχάνων καὶ παρακαλῶν διέσωζε πολλάκις ὁ τρισμακάριος τὰ τῶν ὀρθοδόξων πάνσεπτα Προσκυνήματα ἀπὸ τῶν ἐπιβουλευόντων αὐτὰ αἱρετικῶν. Καθὼς ἄλλοι πρὸ αὐτοῦ ἀοίδιμοι Πατριάρχαι, οὕτω καὶ ὁ θεῖος Ἄνθιμος πολλὰ πικρὰ ποτήρια θλίψεως ἔπιε, καὶ πολλάκις ὑπὸ ὀδύνης ἐστέναξε βλέπων τοὺς Ἀρμενίυς καὶ Δυτικοὺς πολυειδῶς τοὺς ὀρθοδόξους παρενοχλοῦντας, καὶ τὰ δικαιώματα αὐτῶν ἀδίκῳ γνώμῃ ἐπηρεάζοντας. Καὶ περὶ τοῦ ναοῦ τῆς Ἀναστάσεως, καὶ περὶ τῆς ἁγίας Βηθλεὲμ, καὶ περὶ τῆς ἁγίας Γεθσημανῆς πολλὰ σκανδαλώδη ἔπραξαν οἱ φιλοτάραχοι οὗτοι ἄνθρωποι, πλήθει χρημάτων τὴν εὔνοιαν τῶν ἰσχυρῶν ὑποκλέπτοντες· ἀλλ᾿ ὁ ἄγρυπνος φρουράρχης τῶν παναγίων Προσκυνημάτων Ἄνθιμος τοῦ ὀρθοδόξου ἔθνους τὰ δίκαια παριστὰς ἑκάστοτε εἰς τὴν σεβαστὴν Κυβέρνησιν, ἐλάμβανε στεφανηφόρος τὰ νικητήρια, καὶ ἀπεσόβει τοὺς ἐπεισπηδῶντας ἑτεροδόξυς. Οὕτω παραδείγματος χάριν ἐν ἔτει 1803 οἱ ἐν Ἱεροσολύμοις Ἀρμένιοι θράσει πολλῷ ἀπαυθαδιάσαντες ὥρμησαν εἰς τὴν ἁγίαν Γεθσημανῆ· καὶ πρῶτον μὲν ἀνήρτησαν ὅσας αὐτοὶ κανδήλας ἠθέλησαν ἐξ αὐτογνώμονος δοκιμασίας καὶ ψήφου, καταπατοῦντες τὴν ἐξ ἀρχαίων χρόνων ἐν τούτοις ἐπικρατοῦσαν συνήθειαν, εἶτα τύψαντες ἀφειδῶς τὸν τοῦ ναοῦ κανδηλάπτην ἀπῆλθον, ἀφέντες αὐτὸν ἡμιθανῆ κατακείμενον. Ταῦτα δὲ ποιήσαντες ἀνέσπων τὰς ὀφρῦς καὶ ἐγαυριῶντο, καὶ πολλὰ καθ᾿ ἡμῶν ἐφρυάττοντο, καὶ

δῆλοι ἦσαν ὅτι καὶ ἐν ἄλλοις ἱεροῖς τόποις τὸ αὐτὸ πρᾶξαι ἔμελλον, ὑπὸ τοῦ αὐτοῦ θράσους συνελαυνόμενοι. Ἀλλ' ὁ ἱερὸς Ἄνθιμος ἀνήγγειλεν εὐθὺς τῷ κραταιοτάτῳ Ἄνακτι δι' ἀναφορᾶς τὰ γενόμενα, καὶ παραυτίκα ἐξεδόθη βασιλικὸς ὁρισμὸς, ἄκυρα ποιῶν τὰ τῶν Ἀρμενίων ἁρπάγματα, καὶ τὴν πρώτην τάξιν ἐπαναφέρων.

Πολλάκις δὲ καὶ ἄλλοτε πρὸς ὁμοίους ἀγῶνας ἐπαπεδύσατο ὁ ἀείμνηστος, ἀκέραια τηρῶν καὶ ἀπαραχάρακτα τῶν ὀρθοδόξων τὰ δικαιώματα. Ἀλλ' οὐδέποτε τοσαύτην ᾐσθάνθη ὀδύνην ἐν τῇ ψυχῇ, ὅσην ἐν ἔτει 1808, ὅτε οἱ Ἀρμένιοι ἔχοντες ἰσχυρόν τινα ἄρχοντα ἐκ τοῦ ἔθνους αὐτῶν, Μανούχην καλούμενον, θερμουργὸν ἄνδρα καὶ μέγα δυνάμενον παρὰ τῷ τότε ἀρχιϋπάτῳ Μυςαφᾶ Πασσᾷ, κατώρθωσαν καὶ πλήρη ἔλαβον ἄδειαν ἵνα λειτουργῶσιν ἐν τῇ ἁγίᾳ Γεθσημανῇ ἐπ' αὐτοῦ τοῦ Θεομητορικοῦ μνήματος. Πρὸς ταῦτα μέσην ἤλγησε τὴν καρδίαν ὁ πάμμεγας ζηλωτὴς τῆς ὀρθοδοξίας, καὶ πενθῶν ἐσκυθρώπασεν. Ἀλλ' αὕτη ἦν καὶ ἡ πανυστάτη ὀδύνη ἡ τὴν καρδίαν αὐτοῦ κεντήσασα· διότι οὐ πολὺ μετὰ ταῦτα ἠῤῥώστησε καὶ ἔπεσεν ἐπὶ κλίνης, μὴ ἀντισχούσης τῆς γηραλέας αὐτοῦ ἡλικίας εἰς τοσαύτην καρδιοβόλον θλίψιν.

Πολὺ δὲ πάντως μείζων ἂν ἦν καὶ ἀλγεινοτέρα ἡ θλίψις αὕτη, εἰ ἐγνώριζεν ὁ μακάριος καὶ τὰ ἐν Ἱεροσολύμοις τότε συμβάντα δεινὰ, τὴν ὑπὸ τῶν Ἀρμενίων δηλαδὴ ἀνοσίαν πυρπόλησιν τοῦ ἱεροῦ ναοῦ τῆς Ἀναστάσεως, ἧς ἡ σπαρακτικὴ ἀγγελία ἦν ἤδη καθ' ὁδὸν, καὶ ὅσον οὔπω ἔφθανε πρὸς αὐτόν. Ἀλλ' ὁ Ἄνθιμος μετὰ ἕνδεκα ἡμερῶν ἀῤῥωστίαν πρὶν ἢ φθάσῃ τὸ δεινὸν τοῦτο ἄγγελμα μετετέθη πρὸς Κύριον ἐν ἔτει 1808 τὴν δεκάτην τοῦ μηνὸς Νοεμβρίου, ἐν βαθεῖ καὶ λιπαρῷ γήρατι, ζήσας μὲν ὑπὲρ τὰ 90 ἔτη, πατριαρχεύσας δὲ 20, καὶ διάδοχον τοῦ θρόνου καταλιπὼν τὸν Βηθλεὲμ Μητροπολίτην Πολύκαρπον, ἄνδρα ἐκ νεαρᾶς

ἡλικίας παρ' αὐτῷ ἀνατεθραμμένον, καὶ ταῖς τῶν ἀρετῶν ἀγλαΐαις λελαμπρυσμένον.

Οὕτω διῆλθε τὸν βίον, καὶ οὕτω διέπρεψεν ἐν τῇ Ἐκκλησίᾳ ὁ μέγας οὗτος ἀνὴρ, ὁ τῆς ἀληθινῆς καὶ Θεῷ συναπτούσης φιλοσοφίας διάπυρος ἐραστὴς, καὶ πρὸς ἐπισκοπὴν καὶ ἐπιμέλειαν ψυχῶν δοκιμώτατος ποιμενάρχης. Πράξει καὶ θεωρία λάμπων, δι' ἐκείνης μὲν Μοναστὴς ἐδείχθη καρτερικώτατος καὶ τῶν ἀρετῶν ἐργάτης ἀκαταπόνητος, διὰ ταύτης δὲ τὴν τῶν θείων γνῶσιν ἐν τῷ πλάτει τῆς καρδίας ἐχώρησε, καὶ τῆς ὑψηγόρου θεολογίας μύστης ἐγένετο ἱερώτατος, καὶ τῶν τοῦ Πνεύματος λογίων ἑρμηνεὺς ἐκφαντορικώτατος. Ἡ εἰκοσαετὴς Πατριαρχεία τοῦ ἱεροῦ Ἀνθίμου, καί τοι πολλαῖς τρικυμίαις συνταραχθεῖσα, πολλῶν καὶ μεγάλων καλῶν ἐγένετο πρόξενος τῇ τε Ἐκκλησίᾳ τῶν Ἱεροσολύμων καὶ παντὶ τῷ εὐσεβοῦντι πληρώματι. Ἐκ νεαρᾶς ἡλικίας μετὰ τῶν ἐν Παλαιστίνῃ Χριστιανῶν ἐναρέτως συνὼν καὶ συζῶν ὁ Ἄνθιμος, τοσαῦτα δὲ ἔτη διδάσκων αὐτοὺς καὶ φωτίζων καὶ ἐν ταῖς Σχολαῖς καὶ ἐν ταῖς Ἐκκλησίαις, τοσοῦτον προσφιλὴς ἐγένετο καὶ ἠγαπημένος τῆς ἐν τῇ ἁγίᾳ γῇ Ὀρθοδόξοις, ὥστε αὐτὸς ἦν αὐτοῖς τὰ πάντα, καὶ ποιμὴν ἀγαθὸς, καὶ διδάσκαλος ἀκριβὴς, καὶ πίστεως κανὼν, καὶ βίου ὑπογραμμός. Σύμπασα ἡ τότε εὐσεβὴς γενεὰ ἦν ὑπὸ τὰς σωτηρίους αὐτοῦ ἐπιῤῥοὰς ἀνατεθραμμένη, καὶ πρὶν ἢ ἀναβῇ τὴν περιωπὴν τῆς Πατριαρχείας, ἦν ἤδη τῷ λόγῳ τῆς διδασκαλίας πατὴρ ἁπάντων. Διὰ ταύτην δὲ τὴν ἐν τῷ εὐσεβεῖ λαῷ ἀγαθὴν καὶ μεγάλην αὐτοῦ ὑπόληψιν διέσωσεν ἀκεραίαν καὶ ἀλύμαντον ὁ ἀείμνηστος τὴν ἐν τοῖς τόποις τούτοις ὀρθοδοξίαν, δεινῶς ἐπιβουλευομένην καὶ κινδυνεύουσαν ὑπὸ τῶν πάντοθεν ἐπεισπηδώντων αἱρετικῶν.

Ἀλλὰ καὶ τῶν ἀμέμπτων αὐτοῦ ἠθῶν τὸ παράδειγμα σωτήριον εἶχε δύναμιν εἰς ἅπαντα τὸν λαὸν, καὶ ἰδίως εἰς τοὺς ἐγγύτερον

μετ' αὐτοῦ ἀναστρεφομένους. Πρᾶος, ἀόργητος, γλυκὺς, συμπαθητικὸς, ἁγνὴν τὴν ἀρετὴν πνέων, αἰδέσιμος ἦν τοῖς πᾶσι καὶ περιπόθητος. Τὸ φιλόσοφον καὶ ἀξιοπρεπὲς αὐτοῦ ἦθος, ἡ εὔσπλαγχνικὴ καὶ πολλὴν ἀγαθότητα καρδίας ἐμφαίνουσα αὐτοῦ ὄψις, ἡ χάριν καὶ ἱλαρότητα ἀγγελικὴν ἀποπνέουσα αὐτοῦ φυσιογνωμία, τοσοῦτον ἐκείνουν εἰς σέβας καὶ θαυμασμὸν τοὺς ὁρῶντας, ὥστε καὶ βλεπόμενος μόνον ὠφέλει ὁ τρισμακάριος, καὶ πολὺν ἐνεποίει τὸν πόθον τῆς ἀρετῆς.

Ἀλλὰ πολλὰ δεινὰ ἐν τῇ ἁγίᾳ γῇ ἐπὶ τῆς Πατριαρχείας αὐτοῦ συμβάντα σφόδρα παρεπίκραναν τὴν ζωὴν, καὶ κατελύπησαν τὴν ψυχὴν τοῦ ἱερωτάτου ἀνδρός. Ἔνθεν μὲν αἱ τῶν Γάλλων εἰς τὴν Παλαιστίνην βίαιοι εἰσβολαὶ, τοὺς Ἄραβας κατὰ τῶν ἀκάκων ἐντοπίων Χριςιανῶν ἐρεθίζȣσαι, ἔνθεν δὲ αἱ τῶν Ἀρμενίων ἀκατάπαυςοι σκευωρίαι εἰς ἁρπαγὴν τῶν παναγίων Προσκυνημάτων μηχανȣργοῦσαι, πολὺν ἐξήγειραν τὸν κλύδωνα τῶν κακῶν κατὰ τῆς ἐν Ἱερȣσαλὴμ Ἐκκλησίας. Πρόσθες τούτοις καὶ τὴν ὑπὸ τοῦ ἀπηνοῦς ἡγεμόνος τῆς Ἱερουσαλὴμ Ἀπουμάρακ Μεχμὲτ πασσᾶ σκληρὰν καὶ ἀνηλεῆ κατάθλιψιν, δι' ἧς οὗτος μυριάδας χρημάτων ἀπειλαῖς καὶ ῥαβδισμοῖς παρὰ τῶν ἐν Ἱεροσολύμοις Πατέρων

---

(1) Τὸν ἀπηνῆ τοῦτον τύραννον στενῶς ἐπολιόρκησεν ἐν Ἰόππῃ ὁ ἐν Πτολεμαΐδι γενναῖος Τζεζὰρ Ἀχμὲτ πασσᾶς ἐν ἔτει 1802, ἀπαλλάξαι θέλων τοὺς ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λαοὺς ἐκ τῆς καταδυναστείας τοῦ Ἀπουμάρακ. Μετὰ ἐννεάμηνον δὲ πολιορκίαν ἐξεδίωξεν αὐτὸν ἐκ τῆς Παλαιστίνης ὁ Τζεζὰρ, καὶ ἀπεκατέστησεν ἐν τῷ τόπῳ τὴν τάξιν καὶ ἡσυχίαν. Ἐν τῇ πολιορκίᾳ ταύτῃ ὁ Ἀπουμάρακ εἰς ἔσχατον ἐξαγριωθεὶς, οὐ μόνον πλῆθος πολὺ χρημάτων βιαίως εἰσέπραξε, ἀλλὰ καὶ τὸν ἐν Ἰόππῃ ἡγούμενον Ἀρχιμανδρίτην Ἀγάπιον ἑκατὸν καὶ πεντήκοντα πληγὰς εἰς τοὺς πόδας σκληρῶς ἐῤῥάβδισε, καὶ ἀφεύκτως αὐτὸν κατεπόντιζε καὶ ἐν τῇ θαλάσσῃ, εἰ μὴ φίλος τις ὑπὲρ αὐτοῦ ἐμεσίτευσε.

ἀφήρπασεν, οἵτινες σὺν τόκῳ βαρυτάτῳ λαμβάνοντες τὰ ἑκάστοτε ἀπαιτούμενα, δυσοικονομήτοις ὑπέπιπτον χρέεσι (1). Διὰ πάντα ταῦτα ἐδάκνετο τὴν ψυχὴν ὁ ἀοίδιμος, καὶ νοεραῖς ἐποπτείαις ἐνατενίζων, τὴν ἄνωθεν ἐζήτει ἄμαχον ἀρωγὴν, καὶ μετὰ δακρύων καὶ συνοχῆς καρδίας τὸν Θεὸν καθικέτευεν ὑπὲρ τῆς ἐμπεπιστευμένης αὐτῷ ἁγίας κληρονομίας. Ἐκ τῶν θερμῶν δὲ τούτων καὶ ἐκτενῶν προσευχῶν πολλὴν καὶ ἄφατον παρηγορίαν ἀντλῶν, καὶ θείου θάῤῥους πληρούμενος, λόγοις φιλοσόφοις ἐκούφιζε καὶ τῆς ἐν Ἱεροσολύμοις Κοινότητος τὰ ἄχθη, πράως ἐγκαρτερεῖν διδάσκων, καὶ μεθ' ὑπομονῆς τὰ τοῦ καιροῦ δεινὰ φέρειν, καὶ πρὸς Θεὸν τὰς ἐλπίδας ἔχειν. Καὶ ταῦτα μὲν ἐν συνόψει περὶ τῆς ἁγίας ζωῆς τοῦ ἀοιδίμου Ἀνθίμου, τοῦ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις μεγάλαις ἀρεταῖς διαλάμψαντος, καὶ τῶν παλαιῶν ἐκείνων Πατέρων τῆς Ἐκκλησίας λόγοις καὶ ἔργοις ἐφαμίλλου ἀναδειχθέντος. Τούτοις δὲ προσθήσομεν ὀλίγα τινὰ καὶ περὶ τῆς ὑπ' αὐτοῦ φιλοπονηθείσης, καὶ ἤδη εἰς φῶς προκυπτούσης ἀξιεπαίνȣ ταύτης τῶν ψαλμῶν ἑρμηνείας.

Δύο εἰσὶ τὰ πλείστου λόγου ἄξια καὶ κοινωφελέστατα τοῦ ἱεροῦ Ἀνθίμου πονήματα, δι' ὧν ἡ Ἐκκλησιαστικὴ φιλολογία τῶν νεωτέρων χρόνων κατεπλȣτίσθη, καὶ φῶς γνώσεως καὶ διδασκαλίας ἐπὶ πᾶν τὸ πλήρωμα τῶν πιςῶν ἐξεχύθη· τὸ σύνταγμα τῆς Θεολογίας, καὶ ἡ ἑρμηνεία τοῦ Ψαλτηρίȣ. Ἀμφότερα ταῦτα ὑπ' αὐτοῦ τοῦ συγγραφέως ἐκ τῆς ἐν ᾗ συνεγράφησαν Ἑλληνικῆς εἰς τὴν Ἀραβικὴν μεταγλωττισθέντα, ἐξεδόθησαν τύποις ἐν ἔτει 1791 — 92. Καὶ περὶ μὲν τοῦ συντάγματος τῆς Θεολογίας εἴπομεν ὀλίγα ἐν τοῖς προηγουμένοις, ἤδη δ' ἐροῦμεν τὰ εἰκότα καὶ περὶ τοῦ Ψαλτῆρος.

Σκοπὸς τῆς ἑρμηνείας ταύτης ἦν κυρίως ὁ φωτισμὸς καὶ ἡ διδασκαλία τῶν ἐν Παλαιστίνῃ Ἀράβων Χριστιανῶν, οἵτινες εἶχον μὲν πόθον ἵνα μελετῶσι τὰ θεῖα λόγια, στερούμενοι ὅμως ἐν

τῇ ἰδίᾳ γλώσσῃ τῶν ἀναγκαίων ὑπομνημάτων, ἔμενον ἐν ἀγνοίᾳ τῶν ἐπουρανίων τῆς Γραφῆς νοημάτων, καὶ ἀπεπνίγοντο ἐν πολλῷ τῷ σκότει τῆς ἀμαθίας. Ἐν ᾧ δὲ καθ' ἑκάστην καὶ ἐν Ἐκκλησίαις καὶ ἐν Σχολαῖς εἶχον ἅπαντες ἐν τῇ γλώσσῃ τὸ ἱερὸν Ψαλτήριον, οὐδὲ οἱ ἀναγινώσκοντες, οὐδὲ οἱ ἀκούοντες κατενόουν τοῦ θεοπνεύστου Δαβὶδ τὰς ὑψηγορίας, ἀλλ' ἦν κεκλεισμένος ὑπὸ τῆς ἀσαφείας ὁ τοσοῦτος πλοῦτος τῶν γνώσεων εἰς τὰς εὐλαβεῖς ἐκείνας ψυχάς. Τὴν ἐν τοῖς ψυχικοῖς ὄμμασι τῶν Χριστιανῶν ἐπικαθημένην ταύτην ἀχλὺν καὶ ἄγνοιαν διασκεδάσαι θέλων ὁ σοφὸς ποιμενάρχης, συνέταξε τὸ παρὸν ὑπόμνημα, ἐκ τῶν ἁγίων Πατέρων αὐτὸ καλῶς ἀπανθίσας. Ταῦτα ἐκτίθησι πληρέστερον αὐτὸς ὁ τοῦ ὑπομνήματος συγγραφεὺς ἐν τῇ πρὸς τοὺς ἀναγνώστας τῆς Ἀραβικῆς ἑρμηνείας ἐπιστολῇ, ἣν μεταπεφρασμένην παρατιθέμεθα καὶ ἡμεῖς ἐνταῦθα, ἔχουσαν οὕτω.

«Καταμαθὼν ὅτι τὰ ἐν πνεύματι ἡμῶν τέκνα, οἱ ὀρθόδοξοι Χριστιανοὶ Ἄραβες, μέγιστον μὲν πόθον καὶ προθυμίαν ἔχουσι πρὸς κατάληψιν τῶν ἐννοιῶν τῶν θείων Γραφῶν, ἀδύνατοι ὅμως εἰσὶ πρὸς τοῦτο δι' ἔλλειψιν ἐξηγήσεων ἐν τῇ Ἀραβικῇ γλώσσῃ, οἴκτῳ κινούμενος ἔσπευσα πρὸς θεραπείαν τῆς ἐλεεινῆς ταύτης καταστάσεως. Ὅθεν τοῖς ὑπομνήμασι τῶν ἁγίων Πατέρων, τῶν ὡς ἥλιος λαμψάντων καὶ τὸν κόσμον ἅπαντα φωτισάντων, ἐγκύψας, καὶ ἀπ' αὐτῶν ὡς ἀπὸ πηγῶν τὰ πρόσφορα ἀρυσάμενος, ἔγνων συντάξαι τὴν ἑρμηνείαν τοῦ ἱεροῦ Ψαλτηρίȣ, ὡς παντὶ Χριστιανῷ ἀναγκαίας οὔσης τῆς κατανοήσεως τῶν θείων αὐτοῦ ἐννοιῶν, ἵνα μὴ διδῷ χώραν εἰς ψευδεῖς λόγους, καὶ πίνῃ ἐξ ἀλλοτρίων καὶ θολερῶν πηγῶν, καὶ ματαίως μοχθῇ, και ἵνα ἔχῃ ἀποδιώκειν πᾶσαν ἀμφιβολίαν καὶ πᾶν σκάνδαλον, ὑπὸ τῶν νοθευόντων τοὺς θείȣς λόγους ἐπιφερόμενον, περὶ ὧν εἴρηται ὅτι εἰσὶ πλανῶντες καὶ πλανώμενοι. Πᾶσαν μὲν οὖν δειλίαν ἀποθέμε-

νος, πάντα δὲ μόχθον μετὰ προθυμίας ἀναλαβὼν, ἐπιῤῥωσθεὶς τῇ τοῦ Θεοῦ βοηθείᾳ, διηρμήνευσα αὐτὸ πρὸς ὠφέλειαν τῶν τέκνων ἡμῶν, ἐχόμενος τῆς περὶ αὐτοῦ γνώμης καὶ ἑρμηνείας τῶν ἁγίων Πατέρων, τῶν ἀκραδάντων στύλων τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ἵνα μὴ ἄγωνται οἱ Χριςιανοὶ ὑπὸ παντὸς πνεύματος. Τὸ ἱερὸν ὅμως τοῦτο Ψαλτήριον, ἀναγκαιότατον καὶ οὐσιωδέστατον ὂν, καὶ μεγίστην ἐπάγον τὴν ὠφέλειαν, ὡς δειχθήσεται ἐν τῷ ὑπὸ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου προλόγῳ, πάντοτε πολεμεῖται ὑπὸ τοῦ πονηροῦ, καὶ ἐντεῦθεν εἰς πλείστην ὀλιγωρίαν καὶ ἀμέλειαν κατήντησε παρὰ τοῖς Χριστιανοῖς· ἐν αὐτῷ γὰρ πολλαί τινες μέθοδοι ἐνυπάρχουσιν, αἵτινες τὴν μὲν πρὸς τὴν μετάνοιαν ὁδὸν εὐκολύνουσι, μεγίστην δὲ τὴν τόλμην πρὸς τὸ ἀντιστῆναι ταῖς συμφοραῖς παρέχουσι· διὰ δὲ τὸ δύσληπτον τῶν ἐννοιῶν αὐτοῦ τοσοῦτον ὠλιγωρήθη, ὥστε οἱ ἄνθρωποι, ἐν ᾧ ἀναγινώσκεται ἐν ταῖς ἱεραῖς Ἐκκλησίαις, οἱ μὲν νυστάζȣσιν, οἱ δὲ ψιθυρίζουσι, τινὲς δὲ καὶ κατοκνοῦσιν ἀκροάζεσθαι αὐτοῦ, λαμβανομένου ὥς τινος περιττοῦ καὶ οὐδαμῶς ἀναγκαίου. Ἵνα οὖν ἔχῃ πᾶς τις κατανοεῖν, καὶ διὰ τοῦ ὄμματος τοῦ νοὸς μανθάνειν τὰς θείας αὐτοῦ ἐννοίας, καὶ τὸν Προφήτην καὶ βασιλέα μιμεῖσθαι ἐν τῷ ᾄδειν καὶ ὑμνεῖν τὸν Θεὸν, καὶ ἵνα γένηται αὐτῷ ὡς δίστομος ῥομφαία ἐσπασμένη κατὰ παντὸς ἐναντίȣ, καὶ ὡς χαλινὸς ἐν χερσὶν αὐτοῦ, ἄγχων τὰς σιαγόνας παντὸς αἱρετικοῦ, διηρμήνευσα αὐτὸ ὡς εὑρέθη μεταπεφρασμένον εἰς τὴν Ἑλληνικὴν ὑπὸ τῶν Ο· ἐξ ἀπειρίας γὰρ τῶν ἀντιγραφέων παρεισέφρησαν νενοθευμέναι τινὲς καὶ ἠλλοιωμέναι λέξεις. Οὐδενὶ οὖν ἐπιτρέπω μεταβάλλειν καὶ ἀλλοιοῦν οὐδεμίαν λέξιν, καί τοι μὴ σύμφωνον δοκοῦσαν αὐτῷ τῇ ἐν χρήσει Ἀραβικῇ ἐκδόσει· ἀλλ' εἰ μὲν εἰδήμων τῆς Ἑλληνικῆς ὁ τοιοῦτος τύχοι, ὁράτω τὴν Ἑλληνικὴν ἔκδοσιν, εἰ δὲ μὴ, ἀρκείσθω μόνον τῇ ἐννοίᾳ· διδα-

σκόμενος δ' ἔστω καὶ οὐ διδάσκων, ἀναγινώσκων καὶ οὐκ ἐπικρίνων, τὴν ἔννοιαν παρατηρῶν, καὶ οὐχὶ τὴν λέξιν ἀναστρέφων. Εἰδέναι δὲ δεῖ ἕκαστον τῶν ἀναγινωσκόντων τὴν παροῦσάν μου ἑρμηνείαν, ὅτι συνέταξα αὐτὴν πρὸς οὐδὲν ἄλλο ἀφορῶν, εἰ μὴ πρὸς τὴν ὠφέλειαν τῶν χριστιανῶν ἡμῶν τέκνων, ὡς καὶ ἀνωτέρω μοι εἴρηται. Οὔτε δεινότητος καὶ σοφίας ἐπίδειξις, οὔτε ἀλαζονείας καὶ ὑψηλοφροσύνης κόμπος, ἀλλ' ἀγάπη μόνον ἀδελφικὴ καὶ ζῆλος χριστιανικὸς εἰς ταύτην τὴν συγγραφήν με ἐκίνησε. Συνέγραψα δὲ ταύτην συνοπτικῶς, ἐρανισάμενος πᾶν ὅ, τι συντελεστικὸν ἐνόμισα καὶ σωτήριον εἰς τὸν ἐπιποθοῦντα τὴν διόρθωσιν τῆς ἰδίας διαγωγῆς. Καίτοι δὲ συνοπτική, περιέχει ἡ ἑρμηνεία αὕτη τήν τε παλαιὰν καὶ νέαν Γραφὴν, καὶ πέποιθα ὅτι μεγάλην ὠφέλειαν προξενήσει τοῖς πιςοῖς καὶ ὀρθοδόξοις Χριστιανοῖς».

Μετὰ τὸ προοίμιον τοῦτο τοῦ συγγραφέως καὶ δύο ἄλλας ἐπιςολὰς περὶ ἐπιθεωρήσεως καὶ διορθώσεως τῶν τῆς γλώσσης παροραμάτων, ἕπονται ἐν τῇ Ἀραβικῇ ἐκδόσει καὶ δύο εἰσαγωγαί, ὧν ἡ μὲν μία τοῦ μεγάλου ἐστὶν Ἀθανασίου, μεγάλη ὄντως καὶ θαυμαστὴ καὶ γραφικωτάτη, ἥτις καὶ πρὸς Μαρκελλῖνον ἐπιστολὴ ἐπιγράφεται· ἡ δὲ ἄλλη, σύντομος καὶ μικρὰ, τοῦ Εὐσεβίου ἐστὶ Καισαρείας. Καὶ τοιαύτην μὲν ἔχει διάταξιν ἡ Ἀραβικὴ τοῦ βιβλίου ἔκδοσις, πρὸ ἑξήκοντα καὶ τριῶν ἤδη ἐτῶν γενομένη, καὶ ἄχρι τοῦ νῦν τοῖς ἐν Συρίᾳ καὶ Παλαιστίνῃ πιστοῖς τὰ θεσπέσια τοῦ Προφητάνακτος μελῳδήματα εἰς πλάτος ἀναπτύσσουσα καὶ διατρανοῦσα· ἴδωμεν δὲ νῦν καὶ τὴν παροῦσαν Ἑλληνικὴν τῶν ψαλμῶν ἑρμηνείαν, ἐξ ἧς ἡ Ἀραβικὴ ἐκείνη μετεγλωττίσθη.

Ἡ ἑρμηνεία αὕτη τοῦτο πρῶτον ἔχει πασιφανέστατον γνώρισμα, ὅτι συλλογή ἐςι καὶ ἀπάνθισμα ἐκ τῶν ἀρχαίων ἑρμηνευτῶν καὶ Διδασκάλων τῆς Ἐκκλησίας, τοῦθ' ὅπερ καὶ ὁ συγγραφεὺς

αὐτὸς ἐν τῷ προοιμίῳ ἐδήλωσε. Τὰ εἰς τοὺς ψαλμοὺς ὑπομνήματα τῶν ἐν τοῖς ἀρχαίοις χρόνοις ἱερῶν συγγραφέων τοσαῦτά εἰσι καὶ τηλικαῦτα, ὥστε οὐ παντὸς φαίνεται ἴδιον τὸ πάντα ταῦτα μετ᾽ ἀκριβείας διεξελθεῖν, καὶ ἄνευ ἰλίγγȣ τὸ μέγα τοῦτο πέλαγος διαπλεῦσαι. Καί τοι δὲ πολλὰ τούτων ἀπώλοντο, καὶ τοῦ χρόνȣ ἐγένοντο παρανάλωμα, ἀλλ᾽ οὖν πολὺς ἔτι καὶ πολύολβος ἀπόκειται πλοῦτος, ἐν ταῖς ἱεραῖς βιβλιοθήκαις τεταμιευμένος. Ἐν τοῖς ὑπομνήμασι τούτοις τῶν Διδασκάλων πολυειδὴς καὶ ποικίλη ὑπάρχει ἡ τῶν ψαλμικῶν ἐννοιῶν διερμήνευσις, νῦν μὲν τὸ καθ᾽ ἱστορίαν ἀκριβολογοῦσα, καὶ τὴν τοῦ γράμματος ἔμφασιν ἀναπτύσσουσα, νῦν δὲ ὑπὲρ τὴν πρόχειρον λέξιν ἐπὶ μυστικωτέρας θεωρίας ἀνάγουσα, καὶ ἐπὶ τὸ ἄφραστον κάλλος τῆς ἐγκεκρυμμένης φιλοσοφίας χειραγωγοῦσα. Ἐνταῦθα βλέπεις ἀλληγορικῶν νοημάτων μυσταγωγίας, ἐκεῖ τροπικῶν ἐκφράσεων βάθη, ἐκεῖ ἱερῶν δογμάτων ἐκφαντορίας, ἀλλαχοῦ ἠθικῆς διδασκαλίας πελάγη, πανταχοῦ ὑψηλῶν θεωριῶν γνώσεις, ταῖς τοῦ Πνεύματος αὐγαῖς ἀκτινοβολούσας.

Ἵνα γοῦν διέλθῃ τις πάντα ταῦτα τὰ ὑπὸ τῶν ἁγίων Πατέρων ἄριστα καὶ κατ᾽ ἔκτασιν φιλοπονηθέντα εἰς τοὺς ψαλμοὺς ὑπομνήματα, καὶ δαπάνη καιροῦ ἀπαιτεῖται πολλὴ, καὶ ἕξις περὶ ταῦτα μεγάλη. Ἐν τῇ ἀφθονίᾳ ταύτῃ καὶ ποικιλίᾳ συγχεῖται ὁ ἀγύμναστος νοῦς καὶ ἰλιγγιᾷ, τοιαῦτα βλέπων πελάγη ψαλμικῶν ἐξηγήσεων, καὶ ἐπιθυμεῖ ἵνα ἐν μικροῖς καὶ ὀλίγοις ἴδῃ καὶ απολαύσῃ ὅ,τι ῥωμαλεώτεροι νόες ἐν πολλοῖς καὶ μεγάλοις κατανοοῦντες τρυφῶσι· καὶ τοῦτό ἐστιν ἐκεῖνο, ὅπερ ὁ ἀοίδιμος Ἄνθιμος διὰ τῆς ἑρμηνείας ταύτης κατώρθωσεν. Ἐκ τοῦ κάλλει τε καὶ μεγέθει καὶ ποικιλίᾳ θαυμαστοῦ καὶ πολυανθοῦς λειμῶνος τῶν εἰς τοὺς θεοπνεύστους ψαλμοὺς ἐξηγήσεων τοσούτων Πατέρων καὶ Διδασκάλων τὰ κάλλιστα συλλεξάμενος καὶ ἀνθολογήσας ὁ ἱερὸς

ἀνὴρ, κῆπον ἐφύτευσε χαριτόβρυτον, ἡδυτάτην καὶ πάντερπνον ἀποπνέοντα τοῖς προσιοῦσι τὴν εὐωδίαν, καὶ κατ᾽ οὐδὲν ἄλλο εἰ μὴ κατὰ τὴν ἔκτασιν διαφέροντα τοῦ μεγάλου ἐκείνου λειμῶνος. Ὅσας ἐννοίας καὶ ἑρμηνείας τῶν θεσπεσίων ᾀσμάτων βλέπει τις ἐν ταῖς πολυτόμοις εἰς τοὺς ψαλμοὺς Σειραῖς καὶ τοῖς ἄλλοις ἱεροῖς ὑπομνηματισταῖς, ταύτας εὑρίσκει καὶ ἐν τούτῳ τῷ ὑπομνήματι τοῦ Ἀνθίμου, ἀλλὰ μετὰ τοσαύτης ἐκτιθεμένας ἐντέχνου συντομίας καὶ χάριτος, ὥστε καὶ αὐτὸς ὁ ἐν ταῖς τοιαύταις θεωρίαις σφόδρα γεγυμνασμένος, καὶ τὰς ἀμφιλαφεῖς ἐκείνας καὶ πολυδέλτους συγγραφὰς ἐν χερσὶν ἔχων, ἄσμενος ἂν διέλθοι καὶ τὸ παρὸν ὑπόμνημα, πολλὰ ἐν ὀλίγοις περιλαμβάνον, καὶ τὰς ἐφ᾽ ἑκάστου θεοπνεύστου ῥητοῦ γνώμας καὶ ἐξηγήσεις τῶν Διδασκάλων συντετμημένως μὲν, ἀλλ᾽ ἀκριβῶς καὶ σαφῶς ἐκτιθέμενον. Ἐνῷ δὲ ἐκ πολλῶν τὴν λέξιν καὶ φράσιν διαφερόντων ἑρμηνευτῶν ἀνθολογεῖ καὶ συλλέγει ὁ Ἄνθιμος τὴν ἑκάστου ψαλμοῦ ἑρμηνείαν, τὸ μὲν νόημα ἑκάστου ἑρμηνευτοῦ παρατίθησι, τὸ δὲ λεκτικὸν ὕφος καὶ τὰς λέξεις ἐκείνου παραλείπων, θαυμαστὴν ἐν πᾶσι τηρεῖ ὁμοιότητα φράσεως.

Ἐντεῦθεν κατανοεῖ πᾶς τις ὅτι ἡ ἑρμηνεία αὕτη τοῦ σοφοῦ Πατριάρχου οὐκ ἔστι δουλοπρεπής τις καὶ ἄχαρις συλλογὴ, οὐδὲ συῤῥαφή τις κακόζηλος ξένων γνωμῶν καὶ ἐξηγημάτων, ἀλλ᾽ ἀπάνθισμα χαριέστατον, ἐκ τῶν ἐπιχαρίτων τῆς ἑρμηνείας ἀνθῶν ἐντέχνως συμπεπλεγμένον· ἀκριβὴς καὶ καλῶς τετεχνουργημένη ἐπιτομὴ μειζόνων καὶ ἐκτενεστέρων πραγματειῶν. Ἡ ἑρμηνεία αὕτη ὁμοιάζει οὐχὶ πρὸς ἀλλόκοτον καὶ κακῶς ἐκ πολυβαφῶν τμημάτων συνεῤῥαμμένον χιτῶνα, ἀλλὰ πρὸς λαμπρὸν καὶ πολυτίμητον πέπλον, ἐν ᾧ ἐκ πολυχρόων στημόνων ἄνθη καὶ ποικίλματα εὔγραμμα καὶ κανονικὰ θαυμασίως συνεξυφάνθησαν, καὶ συμμετρίᾳ καὶ τέχνῃ διεποικίλθησαν. Ἐν τῇ καλῇ ταύτῃ ἀνθο-

λογίᾳ ὁ Πατριάρχης πῆ μὲν ἀναφέρει καὶ τὰ ὀνόματα τῶν συγγραφέων, ἐξ ὧν ἠνθολόγησε, πῆ δὲ τὴν γνώμην μόνον ἐκτίθησι, παραλείπων τὸ ὄνομα. Καὶ νῦν μὲν συντέμνει καὶ συνοψίζει τὰ παρ' ἐκείνων πλατυτέρως ἀναπτυχθέντα, νῦν δὲ πλατύνει καὶ σαφηνίζει ὅσα τις τυχὸν ἐν ὀλίγοις συνεπτυγμένως ἐξέφρασε· πανταχοῦ δ' ἐπιπρέπουσαν ἔχει τὴν τοῦ λόγου σαφήνειαν καὶ γλυκύτητα. Ἵνα δὲ σαφέστερα γένωνται πάντα ταῦτα, παρατιθέμεθα ἐνταῦθα δύο ἢ τριῶν χωρίων τὸν παραλληλισμὸν, ἔνθεν μὲν τιθέντες αὐτὰς τὰς λέξεις καὶ τὸ κείμενον τῶν ἑρμηνευτῶν, ἔνθεν δὲ τὸ ἐξ αὐτῶν ἀπάνθισμα τοῦ Ἀνθίμου, ἐξ ὧν βλέπει τις, τίνι τρόπῳ συνέπλεξε καὶ συνεξύφανε τὰς διαφόρους ἑρμηνείας ὁ συγγραφεύς.

---

## Εἰς τὸ ῥητόν· «Ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ». Ψαλμ. ιέ, 8.

### ΑΘΑΝΑΣΙΟΥ.

« Καθ' ὃ μὲν ὁ Χριςὸς νοεῖται Θεὸς, αὐτός ἐστιν ὁ πάντα στηρίζων καὶ ἀνέχων· καθ' ὃ δὲ γέγονεν ἄνθρωπος, πρέποι ἂν αὐτῷ καὶ τὸ λέγειν ἐκ δεξιῶν ἐσχηκέναι τὸν Κύριον, ἵνα μὴ σαλευθῇ· συμπλάττεται γὰρ πανταχοῦ τοῖς τῆς ἀνθρωπότητος μέτροις, καὶ τὸ τῇ κενώσει πρέπον οὐκ αἰσχύνεται διὰ τὴν θείαν οἰκονομίαν. Ὅρα γοῦν ὅπως γέγονεν ἡ φύσις ἡμῶν εὐδόκιμος ἐν Χριστῷ· προσηνέχθημεν γὰρ εἰς πρόσωπον τοῦ Πατρὸς οἱ ἐκβεβλημένοι διὰ τὴν ἐν Ἀδὰμ παρά-

### ΑΝΘΙΜΟΥ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὡς μὲν Θεὸς συνέχει, στερεοῖ τε καὶ διακρατεῖ τὰ πάντα· ὡς δὲ ἄνθρωπος καὶ ὑπὲρ τῆς ἀνθρωπότητος εὐχόμενος, λέγει ἔχειν τὸν Κύριον ἐκ δεξιῶν αὐτοῦ, ἵνα μὴ σαλευθῇ· ἐν πᾶσι γὰρ ἀνθρωπίνως διατίθεται διὰ τὴν σωτήριον οἰκονομίαν. Ἀλλὰ καὶ ἡ φύσις ἡμῶν, ἡ πάλαι διὰ τὴν παράβασιν ἀπῳκισμένη, προσαχθεῖσα τῷ Πατρὶ διὰ τοῦ Υἱοῦ, ἐπλούτησεν αὐτὸν βοηθὸν καὶ ἀντιλήπτορα ἐκ δεξιῶν, ἵνα μὴ σαλευθῇ, ὥς φησιν ὁ

βασιν, καὶ ἐσχήκαμεν αὐτὸν ἐπαμύνοντα καὶ στηρίζοντα ».

### ΗΣΥΧΙΟΥ.

« Θεωρεῖς Υἱοῦ καὶ Πατρὸς ὁμοτιμίαν; Ποτὲ μὲν γὰρ ὁ Υἱὸς ἑστάναι ἐκ δεξιῶν ἢ καθῆσθαι λέγεται· νῦν δὲ τῷ Πατρὶ τὸν δεξιὸν τόπον ἀπονέμει, ἵνα μάθῃς μίαν εἶναι τοῦ γεννηθέντος καὶ τοῦ γεννήσαντος δύναμιν, εἰ καὶ νῦν ταπεινὰ διὰ τὴν σάρκα φθέγγεται ».

### ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ.

« Κύριος ὁ προσδεχόμενος ὅτι βοηθεῖ μοι, καὶ οὐκ ἐᾷ περιτραπῆναι· τὸ γὰρ ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ, ἀντὶ τοῦ, βοηθεῖ μοι, ἀπὸ τοῦ δεξιοῦ καὶ κρείττονος τὴν βοήθειαν καλέσας ».

### ΚΥΡΙΛΛΟΥ.

« Θεὸς γὰρ φύσει καὶ ζωὴ καὶ ζωοποιὸς, ἐζωοποίησε τὸν ἑαυτοῦ ναὸν οὐχ ἑαυτῷ τὸ χρῆμα κατορθῶν, ἀλλ' εἰς ὅλην τοῦ ἀνθρώπου παραπέμπων τὴν φύσιν τὸ ἐντεῦθεν ἀγαθόν».

μέγας Ἀθανάσιος. Ὁ δέ γε ἅγιος Ἡσύχιος λέγει τὸ, ἐκ δεξιῶν μου, σημαίνειν τὴν ὁμοουσιότητα καὶ ἰσοτιμίαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· ἀλλαχοῦ μὲν γὰρ γέγραπται, ὅτι ὁ Υἱὸς κάθηται ἐκ δεξιῶν τοῦ Πατρὸς, ἐνταῦθα δὲ, ὅτι ὁ Πατὴρ ἐκ δεξιῶν τοῦ Υἱοῦ· ἰδοὺ τὸ ἰσότιμον. Ὁ δὲ Ἀντιοχείας Θεόδωρος τὸ, ἐκ δεξιῶν μου, ἀντὶ τοῦ ἐν βοηθείᾳ καὶ ἀντιλήψει μου ἐξείληφεν. Ὁ δὲ ἐν ἁγίοις Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τούτου τοῦ ῥητοῦ λέγει, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὡς φύσει Θεὸς ὑπάρχων, ἐζωοποίησε τὸν ναὸν αὐτοῦ, ἤτοι τὸ σῶμα αὐτοῦ. Τοῦτο δὲ πεποίηκεν οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ἵνα εἰς πᾶσαν τὴν ἀνθρωπίνην φύσιν διαδράμῃ τὸ ἐκ τούτου ὄφελος, καὶ τοῦτό ἐστι τὸ, ἐκ δεξιῶν μου, καὶ ἐνώπιόν μου.

## Εἰς τὸ ῥητόν· «Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί». Ψαλμ. πθ΄, 4.

### ΘΕΟΔΩΡΗΤΟΥ.

« Λέγει δὲ ὅτι σμικρά τίς ἐστι καὶ ἀλγεινὴ λίαν ἡ τῶν ἀνθρώπων ζωή·

### ΑΝΘΙΜΟΥ.

Κἂν χίλια ἔτη ζήσῃ ὁ ἄνθρωπος, αὕτη ἡ χιλιετηρὶς παραβαλλομένη τῇ

σοὶ δὲ τῷ ἀϊδίῳ καὶ αἰωνίῳ καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμὸς μιᾷ ἡμέρᾳ παρείκασται, μᾶλλον δὲ σμικρῷ μορίῳ νυκτός· φυλακὴν γὰρ νυκτερινὴν τὸ τεταρτημόριον ἐκάλεσε τῆς νυκτός.

## ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ.

« Ἄλλο τι ἐν τούτοις δογματικῶς παιδευόμεθα, ὅτι τῷ ἐξ ἐπιστροφῆς πάλιν πρὸς τὸ ἀγαθὸν ἀναλύσαντι, κἂν μυρίοις ὁ βίος καταστιχθῇ πλημμελήμασιν ὡς χιλίων ἐτῶν δοκεῖν εἶναι τῶν κακῶν τὸ ἄθροισμα, ἀντ' οὐδενός ἐστι τῷ Θεῷ ἐπιστρέφοντος· ὁ γὰρ θεῖος ὀφθαλμὸς τὸ ἐνεστὼς ἀεὶ βλέπει, τὸ δὲ παρῳχηκὼς οὐ λογίζεται ».

## ΕΥΣΕΒΙΟΥ.

« Τὰ γὰρ χίλια ἔτη πρὸς δοξολογίαν μὲν οὐκ ἄξια τοῦ Θεοῦ· οὐδὲ γὰρ ἅπας ὁ αἰὼν εἰς ἀκαρές τι λελόγισται παρ' αὐτῷ. Παρίστησι δὲ τὸν καθ' ὃν ἤνθησαν χρόνον ὡς ἐν ἡμέρᾳ γεγονότες τε καὶ φωτί· ἐπὶ χίλια γὰρ ἔτη μόνον ἡ ἐν τῷ τόπῳ λατρεία διήρκεσεν· ἀφ' οὗ γὰρ ἔκτισε τὸ ἱερὸν Σολομὼν μέχρι τῆς ὑπὸ Βαβυλωνίων πολιορκίας ἔτη συνάγεται υλϐ'. Ἐρημωθέντα δὲ τοῦτον Ἰησοῦς καὶ Ζοροβάβελ κατὰ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Περσῶν βασιλέως ἀνανεοῦσι τὸν οἶκον, ἀφ' οὗ πάλιν ἐπὶ τὸ ιέ ἔτος Τιβερίου Καίσαρος ἔτη φμη'. σῇ ἀϊδιότητι Κύριε. ἔσται ὡς ἡμέρα μία, οὐ παροῦσα καὶ ἐνεστῶσα, ἀλλ' ὡς ἡ ἐχθὲς, ἥτις διῆλθεν· ἢ μᾶλλον εἰπεῖν, ὡς φυλακὴ ἐν νυκτὶ, τουτέστιν, ὅσον τὸ τετράωρον τῆς νυκτός. Ὁ δέ γε Νύσσης Γρηγόριός φησιν, ὅτι ἐὰν αἱ ἁμαρτίαι ἡμῶν ὦσιν ὡς ἁμαρτίαι χιλίων ἐτῶν, γενήσονται διὰ τῆς μετανοίας ὡς ἡ παρελθοῦσα ἡμέρα. Ὁ δὲ Εὐσέβιος καὶ ἄλλοι φασὶν, ὅτι ἀπὸ τῆς οἰκοδομῆς τοῦ ναοῦ τοῦ Σολομῶντος διέμεινεν ἡ Ἰουδαϊκὴ λατρεία ἐν Ἱερουσαλὴμ ἕως τῆς αἰχμαλωσίας Βαβυλῶνος καὶ τῆς καθαιρέσεως τοῦ ναοῦ ἔτη τετρακόσια τριάκοντα δύο. Ἀπὸ δὲ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τῆς σταυρώσεως τοῦ Χριστοῦ πεντακόσια τεσσαράκοντα ὀκτώ. Ἀπὸ δὲ τότε ἕως τοῦ πολέμου Τίτου καὶ Οὐεσπεσιανοῦ, τῶν καθελόντων τὸν ναὸν, ὃν ἔκτισε Ζοροβάβελ ἐπὶ Δαρείου βασιλέως Περσῶν, καὶ τὴν πόλιν, καὶ ἀπωλεσάντων τοὺς Ἰουδαίους ἔτη τεσσαράκοντα. Ταῦτα τὰ ἔτη ἐπέκεινα τῶν χιλίων ὄντα σημαίνει, ὅτι ἡ τῶν Ἑβραίων νομοθεσία ἐλογίσθη ὡς φυλακὴ ἐν νυκτὶ, ἤτοι ὡς τριτημόριον νυκτὸς, καταυγαζόμενον τηνικαῦτα ἀπὸ τῆς διδασκαλίας τῶν ἁγίων Προφητῶν, ὡς ἀπὸ λύχνου φαίνοντος ἐν αὐχμηρῷ τόπῳ. Ταύτης δὲ τῆς νυκτὸς διελθούσης καὶ εἰς πέρας γενομένης, ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς, καὶ ἐ-

Ἔμεινε δὲ μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἐπιβουλὴν ἡ πόλις ὡς ἐν χειμῶνι σαλεύουσα ἐν ἑτέροις μ΄. μεθ᾽ ἃ τελείως ἀπώλοντο κατὰ Τίτον καὶ Οὐεσπεσιανὸν αὐτοκράτορας. Ταῦτα οὖν τὰ χίλια ἔτη, περὶ ὧν εἶπεν ὡς ἡ ἡμέρα ἡ χθὲς, ἥτις διῆλθε· καὶ ὡς φυλακὴν δὲ νυκτερινὴν φησιν αὐτὰ παρεληλυθέναι· λύχνος γὰρ ἦν ὁ Μωσέως νόμος, ἐν νυκτὶ φαίνων αὐτοῖς, ὡς καὶ οἱ Προφῆται λύχνοι τινὲς καὶ ἀστέρων λόγον ἐπέχοντες, οὔπω τοῦ τῆς δικαιοσύνης ἡλίου τὴν οἰκείαν ἡμέραν καὶ μεσημβρίαν πᾶσι τοῖς ἔθνεσιν ἐπιλάμψαντος». πέφαυσεν ἡ φαιδρὰ καὶ πάμφωτος τῆς χριστιανικῆς πίστεως ἡμέρα.

## Εἰς τὸ «Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, τὸ στέαρ αὐτῶν συνέκλεισαν». ψαλμ. ις΄, 10.

### ΗΣΥΧΙΟΥ.

«Κυκλοῦσι γὰρ τὴν ψυχὴν ἡμῶν οἱ δαίμονες, καὶ θηρίων δίκην ἕκαςος προσλαμβάνει, παγιδεῦσαι βουλόμενος. Στέαρ δὲ τῶν δαιμόνων καὶ τροφὴ λιπαρὰ οἱ ἁμαρτάνοντες, οὓς ταῖς ἡδοναῖς ἀπολαύοντας, ὥστε μηκέτι διαφυγεῖν, συγκλείουσι. Ποίαν δὲ ὑπερηφανίαν; τὴν ἀποστασίαν τὴν ἀπὸ τοῦ Θεοῦ, τὴν ἀπιστίαν τοῦ μέλλοντος, τῆς κρίσεως τὴν ἀθέτησιν· ταῦτα γὰρ οἱ θέμενοι ἁμαρτεῖν τοὺς ἀπατωμένους προτρέπονται».

### ΑΝΘΙΜΟΥ.

«Ἐχθροὺς ἐνταῦθα νοητέον τοὺς πονηροὺς δαίμονας, τοὺς περικυκλοῦντας τὰς ψυχὰς ἡμῶν· ςέαρ δὲ, ᾧ ἐνήδονται ὡς λιπαρᾷ τροφῇ, εἰσὶν οἱ ἁμαρτωλοί. Τούτους δὲ συγκλείουσι καὶ καθείργουσιν ἐν ταῖς ἀπολαύσεσι τῶν σωματικῶν ἡδονῶν, ἵνα μὴ ἀποδράσωσι τῶν χειρῶν αὐτῶν διὰ τῆς μετανοίας· πρὸς οὓς καὶ λαλοῦσιν ὑπερηφανίαν, ἀποπλανῶντες καὶ συνωθοῦντες τούτους εἰς τὴν ἀπὸ Θεοῦ ἀποστασίαν, καὶ εἰς τὸ μὴ πι-

### ΑΝΩΝΥΜΟΥ.

« Στέαρ τὴν ἀφροσύνην καὶ εὐημερίαν λέγων φησίν· ἀποκέχρηνται τῇ εὐημερίᾳ καὶ δυναστείᾳ, καὶ οὕτως εὐθαλεῖς εἰσι διὰ τὸν λιπασμὸν, ὡς μηδὲ προσδοκᾷν αὐτοῖς ποτε τὴν εὐθυνίαν περιτραπῆναι· τὸ γὰρ ἐν ἀσφαλείᾳ εἶναι συγκλεισμὸν εἶπεν ».

### ΘΕΟΔΩΡΗΤΟΥ.

« Τὸ στέαρ τινὲς εὐημερίαν καὶ εὐεξίαν ὠνόμασαν· ἐμοὶ δὲ δοκεῖ τὴν εὔνοιαν καὶ φιλαδελφίαν οὕτω καλεῖν. Τοῦτο ἡ τῶν ῥητῶν ἀκολουθία παραδηλοῖ· πᾶσαν γὰρ φυσικὴν ἀποκλείσαντές φησιν εὐσπλαγχνίαν, καὶ οὐδεμίαν χώραν τοῖς τῆς φιλανθρωπίας λογισμοῖς δεδωκότες, φθέγγονται μὲν ὑψηλὰ, ἐνέδρας δέ μοι παντοδαπὰς ἱστῶσιν ».

### ΩΡΙΓΕΝΟΥΣ.

« Στέαρ νοητὸν ἡ ἐκ τῆς κακίας ἐπισυμβαίνουσα τῷ ἡγεμονικῷ παχύτης ».

στεύειν ὅτι ἐστὶ μέλλων αἰὼν καὶ κοινὴ κρίσις· τοιαῦτα γὰρ ὀλέθρια δόγματα ποιοῦσιν αὐτοὺς ἐπιμένειν τῇ ἁμαρτίᾳ. Ἢ στέαρ ἐστὶν ἡ τῶν ἁμαρτωλῶν εὐρύχωρος καὶ ἀπολαυστικὴ ζωὴ, ἣν συγκλείουσι καὶ φυλάττουσι πεποιθότες ἐπ' αὐτῇ, ὡς ἐπὶ φρουρίῳ ἀσφαλεῖ καὶ ἀμεταπτώτῳ. Ἢ στέαρ συνεκδοχικῶς λέγει τὴν εὐσπλαγχνίαν· ἐν τῷ στέατι γὰρ τῷ περικαλύπτοντι τὴν καρδίαν γίνεται ὁ οἶκτος. Λέγει οὖν ὁ ψαλμὸς, ὅτι οἱ ἐχθροὶ τὸν κατὰ φύσιν οἶκτον συνέκλεισαν τῇ ἀπηνείᾳ καὶ ἰταμότητι, ἵνα μὴ δῶσι χώραν τῷ ἐλέει. Ἔτι στέαρ ἐστὶν ἡ ἐν τῷ ἡγεμονικῷ προστιβαζομένη παχύτης ἀπὸ τῆς ἐργασίας τοῦ κακοῦ, ἣν ἀσφαλῶς κατέχοντες οἱ ἁμαρτωλοὶ ἀσυνείδητοι μένουσιν.

Ἐκ τῆς ἀντιπαραθέσεως ταύτης βλέπει τις καθαρώτερον τὴν ἀξίαν τῆς ἑρμηνείας τοῦ Πατριάρχου. Αὕτη περιλαμβάνει, καὶ ὑφ' ἓν συνάπτει, καὶ μιᾷ φράσει καταкοσμεῖ ὅλας σχεδὸν τὰς ἐφ' ἑκάστου ῥητοῦ εἴτε ἱστορικὰς εἴτε τροπικὰς καὶ μυστικὰς ἑρμηνείας τῶν ἀρχαίων ἐξηγητῶν. Αὕτη ὁμοιάζει μέν πως πρὸς μίαν Σειρὰν, τὰς γνώμας τῶν Πατέρων ἐν ἀλληλουχίᾳ ἐκτιθεμένη, πολὺ δὲ διαφέρει πάλιν αὐτῆς, σύμμετρον ἔκτασιν ἐπὶ πάντων

τηροῦσα, καὶ καλῶς συνημμένας τὰς γνώμας ὑποστρωννύουσα, καὶ μίαν πανταχοῦ χάριν καὶ σαφήνειαν φραστικοῦ πλουτοῦσα, καὶ ἐκ τούτου ἓν ὁμοιόμορφον καὶ κανονικὸν ὅλον ἀποτελοῦσα. Ἡ ἑρμηνεία αὕτη ἀπαλλάττει πολλάκις ἀπὸ πολλοῦ κόπου τὸν ἀναγνώστην, ἐν ὀλίγαις λέξεσι μόνον δηλοῦσα, ὅπως τὸ δεῖνα ῥητὸν ἐξεδέξαντο καὶ ἡρμήνευσαν οἱ Πατέρες. Οὕτω περὶ τοῦ ῥητοῦ· «ὁ Θεὸς ἐμφανῶς ἥξει κτλ» ψαλμ. μθ΄, 3. λέγει ὁ Ἄνθιμος· «Καὶ ὁ μὲν Ἀθανάσιος καὶ Ὠριγένης καὶ Εὐσέβιος τοῦτο τὸ ῥητὸν ἐνόησαν περὶ τῆς πρώτης τοῦ Χριστοῦ παρουσίας καὶ τῆς ἐν τῇ αἰσθητῇ Σιὼν ἐνανθρωπήσεως αὐτοῦ· ὁ δέ γε Θεοδώρητος καὶ Ἡσύχιος καὶ Δίδυμος ἐξειλήφασι τοῦτο περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, ὅτι ἐλεύσεται ἀπὸ τῆς οὐρανίου Σιὼν, κτλ». Οὕτω καὶ εἰς ψαλμὸν νδ΄, 1. «Ὁ δέ γε Ἀθανάσιος καὶ Εὐσέβιος καὶ Ἡσύχιός φασι τὴν προσευχὴν ταύτην ὡς ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γενομένην». Ὡσαύτως καὶ εἰς ψαλμ. ρθ΄, 3. «Τὸ δὲ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε λέγομεν κατὰ τὰς γνώμας τοῦ θείου Χρυσοστόμου καὶ Διδύμου καὶ Σεβήρου πατριάρχου Ἀντιοχείας καὶ ἄλλων ὅτι ὥσπερ ἐπὶ Θεοῦ λέγοντες χεῖρας, πόδας κτλ».

Ἴσως δέ τινες τῶν περὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν ἰδίως ἀσχολουμένων θεωρήσουσιν ὡς ἐλλειπὲς τὸ παρὸν ὑπόμνημα, διότι εἰς τὴν κατ᾽ ἔννοιαν μόνον ἐνδιατρίβει ἐξήγησιν, καὶ οὔτε φιλολογικὰς περὶ τοῦ ἱεροῦ κειμένου ἐπιστασίας ἔχει πολλὰς, οὔτε γραμματικὰς εἰς τὸ λεκτικὸν τῆς Γραφῆς παρατηρήσεις ἔχει ἀφθόνους. Ἀλλὰ πρῶτον μὲν λέγομεν ὅτι παντὸς διδακτικοῦ συγγράμματος ἡ ἐκτίμησις ἤρτηται πρὸ πάντων ἐκ τοῦ σκοποῦ, ὃν ὁ συγγραφεὺς ἐν τῷ συγγράφειν προέθετο, πρὸς ὃν πρέπει ἕκαστος ἵνα θεωρῇ καὶ κρίνῃ αὐτό. Εἰ μὲν τὸ σύγγραμμα συνᾴδει πρὸς τὸν σκοπὸν τοῦτον, θεωρεῖται καὶ ὡς καλὸν καὶ ἐπιτετευγμένον· εἰ

δὲ μὴ, ὅσα καὶ ἂν ἔχῃ πλεονεκτήματα, ἄχρηστον μένει πάντοτε καὶ ἀνωφελὲς πρὸς τὸν δι' ὃν ἐγράφη σκοπόν. Ἐὰν κατὰ ταῦτα θεωρήσωμεν καὶ τὴν ἐν χερσὶν ἑρμηνείαν, εὑρήσομεν αὐτὴν ἐντελῶς συνᾴδουσαν τῷ σκοπῷ καὶ προσφυεστάτην. Ὁ σκοπὸς τοῦ συγγραφέως ἦν, ὡς αὐτὸς ἐν τοῖς προοιμίοις ἐδήλωσεν, ἵνα δι' ἑνὸς ἐξηγητικοῦ ἀπανθίσματος, ἐκ τῶν ὑπομνημάτων τῶν ἀρχαίων Διδασκάλων συνηρμολογημένου, φωτίσῃ καὶ διδάξῃ εἰς τὰ ἐπουράνια τῶν ψαλμῶν νοήματα οὐχὶ τινὰς μόνον φιλολόγους καὶ τῶν ἱερῶν Γραφῶν σπουδαστὰς, ἀλλὰ πάντας τοὺς εὐσεβεῖς καὶ πόθῳ θείῳ μελετῶντας τὰ θεόπνευστα λόγια. Πρὸς τοῦτον δὲ τὸν σκοπὸν οὐδόλως ἥρμοζον οὔτε τῆς γραμματικῆς τέχνης πυκνὰ σχολιογραφήματα, οὔτε τῆς κριτικῆς φιλολογίας πολλαὶ λεπτομέρειαι. Ταῦτα πάντα καλὰ μὲν εἰσι καὶ ὠφέλιμα εἰς ἄνδρας λογίους καὶ ἐξ ἐπαγγέλματος περὶ ταῦτα ἀσχολουμένους, βαρυντικὰ δὲ καὶ ὀχληρὰ εἰς τὸ πολὺ πλῆθος τῶν εὐσεβῶν, οἵτινες μηδεμίαν εἰς ταῦτα ἔχοντες ἕξιν, τοῦ νοήματος μόνον ἐπιποθοῦσι τὴν διασάφησιν, ἵνα καρπώσωνται ἀπ' αὐτῆς ψυχικὴν ὠφέλειαν. Πρόσθες τούτοις ὅτι τὸ ὑπόμνημα τοῦτο ἐξέδωκεν ὁ Ἄνθιμος οὐχὶ ὡς πρωτότυπον, οὐδ' ὡς ἰδίᾳ τινὶ μεθόδῳ πεπονημένον, ἀλλ' ὡς ἀπάνθισμα μόνον καὶ παλαιοτέρων ἑρμηνευμάτων ἐπίτομον συλλογήν· ὡς τοιοῦτον δὲ, καθαροὺς φέρει καὶ ἐναργεῖς τοὺς τύπους καὶ τὰ γνωρίσματα τῶν ὑπομνημάτων ἐκείνων, ἐξ ὧν ὑπάρχει ἠρανισμένον. Τὴν αὐτὴν καὶ ὁ συγγραφεὺς μεταχειρίζεται μέθοδον, οἵαν καὶ οἱ ἐξηγηταὶ ἐκεῖνοι· ὅθεν οὐδὲ πάμπαν ἐστερημένον ὑπάρχει τὸ πόνημα καὶ φιλολογικῶν σημειώσεων, ἀλλὰ κατὰ τὸ παράδειγμα καὶ τὴν μέθοδον τῶν θεοφόρων Πατέρων πῆ μὲν αἱ ἄλλαι ἐκδόσεις πρὸς τὴν τῶν Ο παραβάλλονται, πῆ δὲ ἑβραϊσμοί τινες ἐξηγοῦνται· πανταχοῦ ἐντελὲς ὑπάρχει καὶ πάγκαλον ἀπεικόνισμα τῶν θεοσόφων ἐκείνων καὶ

ἀξιαγάστων ἑρμηνειῶν τῶν Διδασκάλων τῆς Ἐκκλησίας.

Τοιαύτη δὲ οὖσα ἡ ἑρμηνεία αὕτη, πλουσία μὲν καὶ ἀμφιλαφὴς τοῖς νοήμασι, εὔληπτος δὲ καὶ καθαρὰ τὴν φράσιν, καθίσταται ὠφελιμωτάτη εἰς πάσης τάξεως εὐσεβεῖς καὶ λογίους. Καὶ οἱ μὲν σοφοὶ καὶ πολυμαθεῖς θεολόγοι, διεξοδικωτέροις ἤδη ὑπομνήμασιν ἐντυχόντες, κάλλιστον ἔχουσιν ἐνταῦθα καὶ συνοπτικὸν ἐγχειρίδιον, τὰ εἰς πλάτος ἄλλοτε φιλολογηθέντα ὑπομιμνῆσκον. Οἱ δὲ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου λόγου ἀδιαλείπτως ἀντλοῦντες ἱεροκήρυκες ἔχουσι καὶ ἐντεῦθεν ἀντλεῖν καὶ εἰς ὠφέλειαν τῶν πιστῶν ἐφαρμόζειν καὶ ἱστορικὰς καὶ ἠθικὰς καὶ ἀναγωγικὰς τῶν θεοπνεύστων ῥητῶν ἑρμηνείας. Οἱ δὲ τὴν ἔνθεον τοῦ Δαβὶδ ὑμνῳδίαν διὰ παντὸς ἐν στόματι ἔχοντες καὶ ἀναγινώσκοντες ἱερεῖς, μονασταὶ καὶ λοιποὶ φιλόθεοι ἄνδρες, τὴν ἑρμηνείαν ταύτην διεξερχόμενοι πρόχειρον εὑρήσουσι καὶ τρανὴν τῶν ἀναγινωσκομένων τὴν διασάφησιν, καὶ ἐντεῦθεν εἰς μείζονα πτερωθήσονται καὶ διακαέστερον πόθον τῆς γλυκερᾶς μελέτης τῶν θείων ᾀσμάτων.







ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000021098